BYZANTINE GREEK SERIES · VOLUME 53

The Funeral Orations

Gregory of Nazianzus

ΕΙΣ ΚΑΙΣΑΡΙΟΝ ΤΟΝ ΑΔΕΛΦΟΝ
ΕΙΣ ΤΗΝ ΑΔΕΛΦΗΝ ΓΟΡΓΟΝΙΑΝ
ΕΠΙΤΑΦΙΟΣ ΕΙΣ ΤΟΝ ΠΑΤΕΡΑ
ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ

The Funeral Orations

On Caesarius, Gorgonia, His Father, and Basil the Great

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 53 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Migne's Patrologia Graeca 35 (Paris, 1857)
for the orations on Caesarius, Gorgonia, and his father, and 36
(Paris, 1858) for the oration on Basil, reprinting the Benedictine edition

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margin gives the Benedictine section number where a paragraph begins.

CONTENTS

ON HIS BROTHER CAESARIUS

Caesarius Among the Learned 9
The Earthquake at Nicaea and the Hope of the Dead 32

ON HIS SISTER GORGONIA

Gorgonia's Virtues 55
The Accident, the Cure, and Her Death 74

ON HIS FATHER

Basil's Presence and the Father's Conversion 91
The Bishop's Character 116
The Elections, the Last Years, and Nonna 141

ON BASIL THE GREAT

Basil's Forebears and Education 167
Athens and the Friendship 191
Priest at Caesarea 214
Bishop Against Valens 236
Strife Among the Bishops and Basil's Virtues 260
The Saints Compared and His Death 283

GREGORY OF NAZIANZUS

ΕΙΣ ΚΑΙΣΑΡΙΟΝ ΤΟΝ ΕΑΥΤΟΥ ΑΔΕΛΦΟΝ

On His Brother Caesarius

Gregory will mourn and praise his brother within measure. Their father was a second Aaron, their mother consecrated to God from her forebears. Caesarius studied at Alexandria and outran his elders, in medicine above all; the brothers reached Byzantium at one moment, and he refused its honors to go home with Gregory, then served at the palace, first among physicians. When the apostate emperor tried to win him from the faith, he declared himself a Christian and withdrew until the tyrant's death.

Οἴεσθέ με ἴσως, ὦ φίλοι, καὶ ἀδελφοὶ, καὶ πατέρες, τὸ 1
you-think me perhaps O friends and brothers and fathers the
γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, θρήνους ἐπιβαλοῦντα τῷ
sweet both thing and name laments about-to-cast-upon the(-one)
ἀπελθόντι καὶ ὀδυρμοὺς, ὑποδέχεσθαι προθύμως τὸν λόγον,
departed and wailings to-take-up eagerly the discourse
ἢ μακροὺς ἀποτενοῦντα καὶ κομψοὺς λόγους, οἷς οἱ
or long about-to-stretch-out and elegant speeches in-which the
πολλοὶ χαίρουσιν. Καὶ οἱ μὲν ὡς συμπενθήσοντες, καὶ
many delight and some indeed as to-mourn-with(-me) and
συνθρηνήσοντες παρεσκεύασθε, ἵν' ἐν τῷ ἐμῷ πάθει τὰ
to-lament-with(-me) you-have-come-prepared so-that in the my suffering the
οἰκεῖα δακρύσητε, ὅσοις τι τοιοῦτόν ἐστι, καὶ σοφίσησθε
own(-griefs) you-may-weep as-many-as any such is and may-cleverly-ease
τὸ ἀλγοῦν ἐν φιλικοῖς πάθεσιν· οἱ δὲ ὡς τὴν
the(-thing) paining in friendly sufferings the(-others) and as the
ἀκοὴν ἑστιάσοντες, καὶ ἡδίους ἐσόμενοι. Χρῆναι γὰρ
hearing to-feast and more-pleased about-to-be to-be-needful for
ἡμᾶς ἐπίδειξιν ποιήσασθαι καὶ τὴν συμφορὰν, οἵά ποτε
us (a)-display to-make even (of)-the calamity such-as once
ἦν τὰ ἡμέτερα, ἡνίκα τἄλλα ἦμεν ἱκανῶς περιττοὶ
were the our(-affairs) when in-other(-things) we-were sufficiently extravagant

καὶ τῆς ὕλης, καὶ τὰ περὶ λόγους φιλότιμοι· πρὶν
both in-the matter and the(-things) about speeches ambitious before
ἀναβλέψαι πρὸς τὸν ἀληθῆ λόγον καὶ ἀνωτάτω, καὶ πάντα
to-look-up to the true word and highest and all(-things)
δόντες Θεῷ, παρ' οὗ τὰ πάντα, Θεὸν ἀντὶ πάντων
having-given to-God from whom the all(-things) God instead-of all(-things)
λαβεῖν. Μηδαμῶς, μὴ τοῦτο περὶ ἡμῶν ὑπολάβητε, εἴ
to-receive by-no-means not this about us suppose if
τι ὑπολαμβάνειν βούλεσθε δεξιόν. Οὔτε γὰρ θρηνήσομεν
anything to-suppose you-wish right neither for we-will-lament
τὸν ἀπελθόντα πλέον ἢ καλῶς ἔχει, οἵ γε μηδὲ τῶν
the departed more than well is who indeed not-even from-the
ἄλλων τὰ τοιαῦτα ἀποδεχόμεθα, οὔτε ἐπαινεσόμεθα πέρα
others the such(-things) we-approve nor we-will-praise beyond
τοῦ μέτρου καὶ πρέποντος, καίτοι γε δῶρον φίλον καὶ
the measure and fitting and-yet indeed (a)-gift dear and
οἰκειότατον, εἴπερ τι ἄλλο τῷ λογίῳ λόγος, καὶ
most-fitting if-indeed anything else for-the learned(-man) (a)-discourse and
τῷ διαφερόντως ἀγαπήσαντι τοὺς ἐμοὺς λόγους ἡ
for-the(-one) especially having-loved the my speeches the
εὐφημία· καὶ οὐ δῶρον μόνον, ἀλλὰ καὶ χρέος ἁπάντων
praise and not (a)-gift only but also (a)-debt of-all
χρεῶν δικαιότατον. Ἀλλ' ὅσον ἀφοσιώσασθαι τὸν περὶ
debts most-just but as-much-as to-discharge the about
ταῦτα νόμον καὶ δακρύσαντες καὶ θαυμάσαντες (οὐδὲ γὰρ
these(-things) custom both having-wept and having-wondered not-even for
τοῦτο ἔξω τῆς καθ' ἡμᾶς φιλοσοφίας· Μνήμη τε γὰρ
this outside the according-to us philosophy (the)-memory both for
δικαίων μετ' ἐγκωμίων· καὶ, Ἐπὶ νεκρῷ, φησὶ, κατάγαγε
of-(the)-just (is)-with praises and over (the)-dead says bring-down
δάκρυα, καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνου· ἴσον
tears and as terrible(-things) suffering begin (a)-lament equally

ἀναλγησίας χωρίζων ἡμᾶς καὶ ἀμετρίας), τὸ μετὰ τοῦτο
from-insensibility separating us and from-excess the(-step) after this
ἤδη τῆς τε ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν ἐπιδείξομεν,
already the both human nature the weakness we-will-show
καὶ τοῦ τῆς ψυχῆς ἀξιώματος ὑπομνήσομεν, καὶ τὴν
and the of-the soul dignity we-will-remind(-you) and the
ὀφειλομένην τοῖς ἀλγοῦσι παράκλησιν ἐπιθήσομεν,
owed to-the(-ones) grieving consolation we-will-lay-on
καὶ μεταθήσομεν τὴν λύπην ἀπὸ τῆς σαρκὸς καὶ τῶν
and we-will-transfer the grief from the flesh and the
προσκαίρων ἐπὶ τὰ πνευματικὰ καὶ ἀΐδια.
temporal(-things) to the spiritual(-things) and everlasting

Καισαρίῳ πατέρες μὲν, ἵν' ἐντεῦθεν ἄρξωμαι ὅθεν ἡμῖν 2
for-Caesarius parents indeed that thence I-may-begin whence for-us
πρεπωδέστατον, οὓς πάντες γινώσκετε, καὶ ὧν τὴν ἀρετὴν
(it-is)-most-fitting whom all you-know and whose the virtue
καὶ ὁρῶντες καὶ ἀκούοντες ζηλοῦτε, καὶ θαυμάζετε, καὶ
both seeing and hearing you-emulate and admire and
διηγεῖσθε τοῖς ἀγνοοῦσιν, εἴπερ τινές εἰσιν ἀνθρώπων,
recount to-the(-ones) not-knowing if-indeed any there-are of-men
ἄλλος ἄλλο τι μέρος ἀπολαβόντες· ἐπεὶ μὴ πάντα
one-man another some part having-received since not all(-things)
τὸν αὐτὸν οἷόν τε, μηδὲ μιᾶς γλώσσης τὸ ἔργον,
the same(-man) (is)-able — nor of-one tongue the work
κἂν σφόδρα τις ᾖ τῶν φιλοπονωτάτων καὶ φιλοτίμων·
even-if very someone be of-the most-industrious and ambitious
οἷς πολλῶν καὶ μεγάλων ὑπαρχόντων εἰς εὐφημίαν (εἰ
to-whom many and great(-things) being for praise if
μή τῳ περιττὸς εἶναι δοκῶ τὰ οἰκεῖα θαυμάζων), ἓν
not to-anyone superfluous to-be I-seem the own(-things) admiring one
μέγιστον ἁπάντων, καὶ ὥσπερ ἄλλο τι ἐπίσημόν ἐστιν
greatest of-all and as something-else some notable is

ἡ εὐσέβεια· τοὺς σεμνοὺς τούσδε λέγω καὶ πολιοὺς, καὶ οὐχ
the piety the venerable these I-mean and gray-haired and not
ἧττον δι᾽ ἀρετὴν αἰδεσίμους ἢ διὰ γῆρας· ὧν τὰ
less because-of virtue revered than because-of old-age of-whom the
μὲν σώματα χρόνῳ κέκμηκεν, αἱ ψυχαὶ δὲ Θεῷ νεάζουσιν.
indeed bodies by-time have-grown-weary the souls but for-God grow-young
3 Πατὴρ μὲν ἐκ τῆς ἀγριελαίου καλῶς ἐγκεντρισθεὶς
(the)-father indeed from the wild-olive well grafted
εἰς τὴν καλλιέλαιον, καὶ τοσοῦτον κοινωνήσας τῆς
into the cultivated-olive and so-much having-shared of-the
πιότητος, ὥστε καὶ ἄλλους ἐγκεντρίζειν πιστευθῆναι, καὶ
richness that even others to-graft to-be-entrusted and
θεραπείαν ἐγχειρισθῆναι ψυχῶν, ὑψηλὸς ὑψηλῶς τοῦ λαοῦ
(the)-care to-be-entrusted(-with) of-souls high highly the people
τοῦδε προκαθεζόμενος, Ἀαρών τις δεύτερος, ἢ Μωϋσῆς,
this presiding Aaron some second or Moses
Θεῷ πλησιάζειν ἠξιωμένος, καὶ θείαν φωνὴν χορηγεῖν,
to-God to-approach thought-worthy and divine voice to-supply
τοῖς ἄλλοις ἱσταμένοις πόῤῥωθεν, πρᾶος, ἀόργητος,
to-the others standing far-off gentle without-anger
γαληνὸς τὸ εἶδος, θερμὸς τὸ πνεῦμα, πολὺς τὸ
serene in-the appearance warm in-the spirit much in-the
φαινόμενον, πλουσιώτερος τὸ κρυπτόμενον. Τί ἂν ὑμῖν
visible richer in-the hidden what — to-you
ἀναζωγραφοίην τὸν γινωσκόμενον; Οὐδὲ γὰρ εἰ μακρὸν
should-I-paint the(-one) known not-even for if long
ἀποτείνοιμεν λόγον, εἴποιμεν ἄν τι τοσοῦτον ὅσον
we-should-stretch-out (a)-speech we-should-say — anything so-great as-much-as
ἄξιον, καὶ ὅσον ἕκαστος συνεπίσταταί τε καὶ ἀπαιτεῖ
(is)-worthy and as-much-as each knows-with(-us) both and demands

τὸν λόγον· καὶ βέλτιον ταῖς ὑπονοίαις παραχωρεῖν ἢ
the speech and better to-the suppositions to-yield than
τῷ λόγῳ τὸ πολὺ περικόπτειν τοῦ θαύματος.
by-the speech the much to-cut-off of-the wonder
Μήτηρ δὲ ἄνωθεν μὲν καὶ ἐκ προγόνων καθιερωμένη 4
(the)-mother and from-above indeed and from ancestors consecrated
Θεῷ, καὶ κλῆρον ἀναγκαῖον οὐκ εἰς ἑαυτὴν μόνον, ἀλλὰ
to-God and (a)-lot necessary not to herself only but
καὶ τοὺς ἐξ αὐτῆς κατάγουσα τὴν εὐσέβειαν, ἐξ
also the(-ones) from her bringing-down the piety of
ἁγίας ἀπαρχῆς ὄντως ἅγιον φύραμα· τοσοῦτον δὲ αὐτὸ
holy first-fruit truly (a)-holy lump so-much and it
αὐξήσασά τε καὶ πλεονάσασα, ὥστε ἤδη τισὶ (φθέγξομαι
having-increased both and multiplied that already to-some I-will-utter
γὰρ, εἰ καὶ τολμηρὸς ὁ λόγος), μηδὲ τὴν τοῦ ἀνδρὸς
for if even bold (is)-the speech not-even the of-the husband
τελειότητα ἑτέρου τινὸς ἢ ταύτης ἔργον γενέσθαι,
perfection of-other some than of-her (the)-work to-have-been
πιστευθῆναί τε καὶ ῥηθῆναι· καὶ, ὦ τοῦ θαύματος! ἆθλον
to-be-believed both and to-be-said and O the wonder (as-a)-prize
εὐσεβείας δοθῆναι μείζονα καὶ τελειοτέραν εὐσέβειαν.
of-piety to-be-given greater and more-perfect piety
Φιλόπαιδες ἄμφω καὶ φιλόχριστοι, τὸ παραδοξότατον,
child-loving both and Christ-loving the most-paradoxical
μᾶλλον δὲ φιλόχριστοι πλέον ἢ φιλόπαιδες· οἷς γε
rather but Christ-loving more than child-loving to-whom indeed
καὶ τῶν τέκνων μία τις ἀπόλαυσις ἦν, τὸ ἀπὸ Χριστοῦ
also of-the children one some enjoyment was the from Christ
καὶ γνωρίζεσθαι, καὶ ὀνομάζεσθαι, καὶ εἷς εὐπαιδίας ὅρος
both to-be-known and to-be-named and one of-good-children measure
ἡ ἀρετὴ, καὶ ἡ πρὸς τὸ κρεῖττον οἰκείωσις· εὔσπλαγχνοι,
the virtue and the toward the better kinship compassionate

συμπαθεῖς, ἁρπάζοντες τὰ πολλὰ σητῶν, καὶ λῃστῶν,
sympathetic snatching the most(-things) from-moths and from-robbers
καὶ τοῦ κοσμοκράτορος, ἐκ τῆς παροικίας εἰς τὴν
and from-the world-ruler from the sojourning to the
κατοικίαν μετασκευαζόμενοι, καὶ κλῆρον μέγιστον τοῖς
dwelling changing-over and (as-an)-inheritance greatest for-the
παισὶ τὴν ἐκεῖθεν λαμπρότητα θησαυρίζοντες. Οὕτω τοι
children the thence splendor treasuring-up so indeed
καὶ εἰς λιπαρὸν ἔφθασαν γῆρας, ὁμότιμοι καὶ τὴν ἀρετὴν
also to (a)-sleek they-reached old-age equal-in-honor both in-the virtue
καὶ τὴν ἡλικίαν, καὶ πλήρεις ἡμερῶν, τῶν τε μενουσῶν
and in-the age and full of-days the both remaining
ὁμοίως καὶ τῶν λυομένων· παρὰ τοσοῦτον ἑκάτερος
alike and the(-ones) dissolving in so-far each
οὐκ ἔχων τὰ πρῶτα τῶν ἐπὶ γῆς παρ᾽ ὅσον
not having the first(-place) of-the(-ones) on earth in as-much-as
ὑπ᾽ ἀλλήλων εἰς τὸ πρωτεῖον ἐκωλύοντο, καὶ πάσης
by one-another as-to the first-place they-were-hindered and of-all
εὐδαιμονίας μέτρον ἐπλήρωσαν, πλὴν τῆς τελευταίας
happiness (the)-measure they-filled except the last
ταύτης, ὡς ἂν οἰηθείη τις, εἴτε δοκιμασίας χρὴ
this as — might-think someone whether of-trial one-must
λέγειν, εἴτε οἰκονομίας· ἡ δέ ἐστιν, ὡς ὁ ἐμὸς λόγος, τὸν
say or of-dispensation it and is as the my account the
σφαλερώτερον τῶν παίδων δι᾽ ἡλικίαν προπέμψαντες,
more-precarious of-the children because-of age having-sent-ahead
οὕτως ἤδη καταλῦσαι τὸν βίον ἐν ἀσφαλείᾳ, καὶ πρὸς
so already to-end the life in safety and to
τὰ ἄνω πανοικεσίᾳ μετατεθῆναι.
the(-things) above with-the-whole-household to-be-transferred

Καὶ ταῦτα διῆλθον, οὐ τούτους ἐγκωμιάσαι
and these(-things) I-have-gone-through not these to-praise
βουλόμενος, οὐδὲ ἀγνοῶν, ὅτι μόλις ἄν τις τῆς
wishing nor not-knowing that scarcely — anyone the
ἀξίας ἐφίκοιτο, καὶ ὅλην ὑπόθεσιν λόγου τὸν τούτων
worth would-reach even whole (a)-subject of-speech the their
ἔπαινον ἐνστησάμενος, ἀλλὰ ἵν' ἐπιδείξαιμι ἐκ πατέρων
praise having-set-up but that I-might-show from parents
ὀφειλομένην Καισαρίῳ τὴν ἀρετὴν, καὶ μὴ θαυμάζητε, μηδὲ
owed to-Caesarius the virtue and not you-wonder nor
ἀπιστῆτε, εἰ, τοιούτων τυχὼν γεννητόρων, τοιούτων
disbelieve if such having-obtained begetters such
ἑαυτὸν παρέσχεν ἐπαίνων ἄξιον· ἀλλὰ τοὐναντίον, εἰ πρὸς
himself he-showed of-praises worthy but the-contrary if to
ἑτέρους εἶδε, τῶν οἰκείων καὶ τῶν ἐγγύθεν ἀμελήσας
others he-looked the own and the near having-neglected
ὑποδειγμάτων. Τὰ μὲν δὴ πρῶτα τοιαῦτα, οἷα
examples the(-things) indeed then first (are)-such such-as
προσῆκεν εἶναι τοῖς ὄντως εὖ γεγονόσι, καὶ καλῶς
it-befitted to-be for-the(-ones) really well born and nobly
βιώσεσθαι μέλλουσιν. Ἵνα δὲ τὰ ἐν μέσῳ συντέμω,
to-live going that but the(-things) in (the)-middle I-may-cut-short
κάλλος, καὶ μέγεθος, καὶ τὴν ἐπὶ πᾶσι τοῦ ἀνδρὸς
beauty and stature and the in all(-things) of-the man
χάριν, καὶ ὥσπερ ἐν φθόγγοις εὐαρμοστίαν (ὅτι μηδὲ
grace and as-if in sounds harmony since not-even
πρὸς ἡμῶν τὰ τοιαῦτα θαυμάζειν, εἰ καὶ τοῖς ἄλλοις οὐ
(it-is)-for us the such(-things) to-admire if even to-the others not
μικρὰ φαίνεται), πρὸς τὰ ἐφεξῆς βαδιοῦμαι τοῦ
small(-things) they-appear to the(-things) following I-will-go of-the
λόγου, καὶ ἃ μηδὲ βουλομένῳ παραλιπεῖν ῥᾴδιον.
discourse and (to-things)-which not-even for-one-wishing to-pass-over (is)-easy

6 Ὑπὸ δὴ τοιούτοις ἤθεσι τραφέντες καὶ παιδευθέντες, καὶ
under indeed such ways reared and educated and
τοῖς ἐνταῦθα μαθήμασιν ἱκανῶς ἐνασκηθέντες, ἐν οἷς ἐκεῖνος
in-the here studies sufficiently trained in which he
τάχει τε καὶ μεγέθει φύσεως οὐδ' ἂν εἴποι τις ὅσον
by-quickness both and greatness of-nature not-even — could-say anyone how-much
ὑπὲρ τοὺς πολλοὺς ἦν· ὦ πῶς ἀδακρυτὶ τὴν τούτων
above the many he-was O how tearlessly the of-these
παρέλθω μνήμην, καὶ μή με ἀφιλόσοφον ἐλέγξῃ τὸ πάθος
should-I-pass-over memory and not me unphilosophical convict the passion
παρὰ τὴν ὑπόσχεσιν! ἀλλ' ἐπειδή γε ἀποδημίας καιρὸς
contrary-to the promise but when at-least of-going-abroad (the)-time
ἐδόκει, καὶ τότε πρῶτον ἀπ' ἀλλήλων ἐσχίσθημεν· ἐγὼ μὲν
seemed and then first from one-another we-were-parted I indeed
τοῖς κατὰ Παλαιστίνην ἐγκαταμείνας παιδευτηρίοις, ἀνθοῦσι
in-the in Palestine remaining schools flourishing
τότε κατὰ ῥητορικῆς ἔρωτα, ὁ δὲ τὴν Ἀλεξάνδρου πόλιν
then in of-rhetoric love he and the of-Alexander city
καταλαβὼν, παντοίας παιδεύσεως καὶ τότε καὶ νῦν οὖσάν
having-reached of-every-kind of-learning both then and now being
τε καὶ δοκοῦσαν ἐργαστήριον. Τί πρῶτον, ἢ τί μέγιστον
both and seeming (the)-workshop what first or what greatest
εἴπω τῶν ἐκείνου καλῶν; Τί δὲ παρεὶς, μὴ τῷ
should-I-say of-the his good(-things) what and passing-over not by-the
μεγίστῳ ζημιώσω τὸν λόγον; Τίς μὲν ἐκείνου διδασκάλοις
greatest should-I-damage the speech who indeed than-he to-teachers
πιστότερος; Τίς δὲ ἥλιξι προσφιλέστερος; Τίς μὲν
more-faithful who and to-his-age-mates more-friendly who indeed
μᾶλλον ἀπέφυγε τὴν τῶν μοχθηρῶν ἑταιρίαν καὶ ὁμιλίαν;
more avoided the of-the wicked company and converse
Τίς δὲ τῇ τῶν βελτίστων ἑαυτὸν προσέθηκε πλεῖον, ἄλλοις
who and to-the of-the best himself attached more to-others

τε καὶ τῶν ἐκ τῆς πατρίδος τοῖς εὐδοκιμωτάτοις καὶ
both and of-the(-ones) from the fatherland the most-esteemed and
γνωριμωτάτοις, εἰδὼς οὐδὲ τοῦτο φέρειν μικρὸν εἰς
most-notable knowing not-even this to-bring (a)-small(-thing) toward
ἀρετὴν ἢ κακίαν τὰς συνουσίας; Ἐξ ὧν τίς μὲν ἄρχουσιν
virtue or vice the associations from which who indeed to-rulers
ἐκείνου τιμιώτερος; τίς δὲ τῇ πόλει πάσῃ, καίτοι
than-he more-honored who and to-the city whole and-yet
γε διὰ τὸ μέγεθος πάντων ἐγκρυπτομένων, ἢ ἐπὶ
indeed because-of the greatness all being-hidden either for
σωφροσύνῃ γνωριμώτερος, ἢ ἐπὶ συνέσει περιφανέστερος;
temperance better-known or for understanding more-conspicuous
Ποῖον μὲν εἶδος οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ 7
what-kind indeed (of)-form not did-he-go-through of-learning rather but
ποῖον, ὡς οὐδὲ μόνον ἕτερος; Τίνι δὲ παρῆκεν ἐγγὺς
what-kind as not-even alone another to-whom and did-he-allow near
αὐτοῦ γενέσθαι, καὶ κατὰ μικρὸν, μὴ ὅτι τῶν καθ᾽
him to-come even by (a)-little not only of-the(-ones) of
ἑαυτὸν καὶ τῆς αὐτῆς ἡλικίας, ἀλλὰ καὶ τῶν πρεσβυτέρων,
his-own and the same age but also of-the older
καὶ παλαιοτέρων ἐν τοῖς μαθήμασι; καὶ πάντα ὡς
and more-ancient in the studies and all(-things) as
ἓν ἐξασκήσας, καὶ ἀντὶ πάντων ἕκαστον· τοὺς μὲν
one having-practiced and instead-of all each the(-ones) indeed
πτηνοὺς τὴν φύσιν φιλοπονίᾳ νικήσας, τοὺς δὲ
winged in-the nature by-industry having-conquered the(-ones) and
γενναίους τὴν ἄσκησιν διανοίας ὀξύτητι· μᾶλλον δὲ τάχει
noble in-the training of-mind by-sharpness rather but in-quickness
μὲν τοὺς ταχεῖς, σπουδῇ δὲ τοὺς φιλοπόνους ὑπερβαλὼν,
indeed the quick in-zeal and the industrious surpassing
καὶ τοὺς κατ᾽ ἄμφω δεξιοὺς ἀμφοτέροις. Γεωμετρίας μέν
and the(-ones) in both skillful in-both of-geometry indeed

γε καὶ ἀστρονομίας, καὶ τῆς ἐπικινδύνου τοῖς ἄλλοις
at-least and of-astronomy and of-the dangerous to-the others
παιδεύσεως, ὅσον χρήσιμον ἐκλεξάμενος, τοῦτο δὲ ἦν ἐκ
learning as-much-as useful having-chosen this and was from
τῆς τῶν οὐρανίων εὐαρμοστίας καὶ τάξεως τὸν δημιουργὸν
the of-the heavenly harmony and order the creator
θαυμάσαι, ὅσον βλαβερὸν ταύτης διέφυγεν· οὐ τῇ φορᾷ
to-admire as-much-as harmful of-it he-escaped not to-the motion
τῶν ἄστρων διδοὺς τὰ ὄντα καὶ τὰ γινόμενα,
of-the stars ascribing the(-things) being and the(-things) happening
ὡς οἱ τὴν ὁμόδουλον ἑαυτοῖς κτίσιν ἐπανιστάντες
as the(-ones) the fellow-servant to-themselves creation raising-against
τῷ κτίσαντι, Θεῷ δὲ καὶ τἄλλα πάντα, ὥσπερ
— having-created to-God but both the-other(-things) all as
εἰκὸς, ἀνατιθεὶς, καὶ τὴν τούτων κίνησιν· ἀριθμῶν δὲ καὶ
is-fitting referring also the of-these motion of-numbers but and
λογισμῶν, καὶ τῆς θαυμασίας ἰατρικῆς, ὅση τὰ
of-calculations and of-the wonderful medicine as-much-as the(-things)
περὶ φύσεις, καὶ κράσεις, καὶ τὰς ἀρχὰς τῶν νοσημάτων
about natures and temperaments and the beginnings of-the diseases
φιλοσοφεῖ, ὥστε ταῖς ῥίζαις ἀναιρουμέναις συνεκκόπτειν
philosophizes so-as with-the roots removed to-cut-out-together
καὶ τὰ βλαστήματα, τίς οὕτως ἀμαθὴς ἢ φιλόνεικος, ὡς
also the shoots who so ignorant or contentious as
ἐκείνῳ δοῦναι τὰ δεύτερα, καὶ μὴ ἀγαπᾶν, εἰ μετ' ἐκεῖνον
to-him to-give the second(-place) and not to-be-content if after him
εὐθὺς ἀριθμοῖτο τὸ πρεσβεῖον ἐν τοῖς δευτέροις
immediately he-were-counted the precedence among the seconds
φερόμενος; Καὶ ταῦτα οὐ λόγος ἐστὶν ἀμάρτυρος, ἀλλ'
carrying-off and these(-things) not (a)-word is unwitnessed but

ἑῴα τε ὁμοῦ λῆξις καὶ ἑσπέριος, καὶ ὅσην ἐκεῖνος
(the)-east both together (a)-portion and (the)-west and as-much-as he
ἐπῆλθεν ὕστερον, ἐπίσημοι στῆλαι τῆς ἐκείνου παιδεύσεως.
went-over later notable pillars of-the his learning
Ἐπεὶ δὲ, πᾶσαν ἀρετήν τε καὶ μάθησιν, ὥσπερ μεγάλη 8
when and all virtue both and learning like (a)-great
φορτὶς παντοδαπὴν ἐμπορίαν, εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν
merchant-ship (a)-manifold cargo into one the his-own soul
συλλεξάμενος, ἐπὶ τὴν ἑαυτοῦ πόλιν ἐστέλλετο, ὡς ἂν
having-gathered to the his-own city he-was-setting-out so-that —
καὶ τοῖς ἄλλοις μεταδοίη τῶν καλῶν ἀγωγίμων τῆς
also to-the others he-might-share of-the good wares of-the
ἑαυτοῦ παιδεύσεως, ἐνταῦθά τι καὶ συνηνέχθη πρᾶγμα
his-own learning here something also happened (a)-thing
θαυμάσιον, οὐδὲν δὲ οἷον, καὶ γὰρ ἐμέ γε μάλιστα
wonderful nothing but like also for me at-least most
πάντων εὐφραίνει τοῦτο μνημονευθὲν, καὶ ὑμᾶς ἂν ἡδίους
of-all gladdens this remembered and you — more-pleased
ποιήσειεν, ἐν βραχεῖ διηγήσασθαι. Ηὔχετο μὲν ἡ μήτηρ
would-make in brief to-narrate prayed indeed the mother
εὐχὴν μητρικήν τινα καὶ φιλόπαιδα, ὥσπερ ἐξέπεμψεν
(a)-prayer motherly some and child-loving as she-sent-out
ἀμφοτέρους, οὕτω καὶ σὺν ἀλλήλοις ἐπανελθόντας ἰδεῖν.
both so also with one-another having-returned to-see
Ξυνωρὶς γὰρ ἐδοκοῦμέν τις, καὶ εἰ μὴ τοῖς ἄλλοις,
(a)-pair for we-seemed some even if not to-the others
μητρί γ᾽ οὖν, εὐχῆς καὶ θέας ἀξία, σὺν ἀλλήλοις
to-(our)-mother at-least then of-prayer and of-sight worthy with one-another
ὁρώμενοι, ἡ νῦν κακῶς ὑπὸ τοῦ φθόνου διαλυθεῖσα·
seen the(-pair) now evilly by the envy dissolved
Θεοῦ δὲ οὕτω κινήσαντος, ὃς ἀκούει δικαίας εὐχῆς,
God and so having-moved who hears (a)-just prayer

καὶ φίλτρον τιμᾷ γονέων εἰς παῖδας εὐγνώμονας, ἐξ
and love honors of-parents for children grateful from
οὐδεμιᾶς ἐπινοίας, οὐδὲ συνθήματος, ὁ μὲν ἀπὸ τῆς
no design nor agreement the(-one) indeed from the
Ἀλεξανδρείας, ὁ δὲ ἀπὸ τῆς Ἑλλάδος κατὰ τὸν αὐτὸν
Alexandria the(-other) and from the Greece at the same
χρόνον εἰς τὴν αὐτὴν πόλιν ὁ μὲν ἀπὸ γῆς, ὁ δὲ
time into the same city the(-one) indeed from land the(-other) and
ἀπὸ θαλάσσης, κατήραμεν. Ἡ πόλις δὲ ἦν τὸ Βυζάντιον,
from sea we-put-in the city and was the Byzantium
ἡ νῦν προκαθεζομένη τῆς Εὐρώπης πόλις, ἐν ᾗ τοσοῦτον
the now presiding-over the Europe city in which so-much
Καισάριος κλέος οὐ πολλοῦ χρόνου διελθόντος ἠνέγκατο,
Caesarius fame not much time having-passed won
ὥστε δημοσίας τιμὰς αὐτῷ, καὶ γάμον τῶν εὐδοκίμων,
so-that public honors to-him and marriage with-the esteemed
καὶ τῆς συγκλήτου βουλῆς μετουσίαν προτεθῆναι, καὶ
and of-the senate council (a)-share to-be-proposed and
πρὸς βασιλέα πρεσβείαν σταλῆναι, τὸν μέγαν ἀπὸ κοινοῦ
to (the)-emperor (an)-embassy to-be-sent the great from common
δόγματος, τὴν πρώτην πόλιν τῷ πρώτῳ λογίῳ
decree the first city by-the first learned(-man)
κοσμηθῆναί τε καὶ τιμηθῆναι (εἴ τι μέλειν αὐτῷ τοῦ
be-adorned both and be-honored if anything to-be-of-concern to-him of-the
πρώτην ἀληθῶς εἶναι, καὶ τῆς ἐπωνυμίας ἀξίαν), καὶ τοῦτο
first truly to-be and of-the name worthy and this
προστεθῆναι πᾶσι τοῖς ὑπὲρ αὐτῆς διηγήμασι, τῷ Καισαρίῳ
to-be-added to-all the about her stories — by-Caesarius
καλλωπίζεσθαι, καὶ ἰατρῷ, καὶ οἰκήτορι· καίτοι γε μετὰ
to-be-adorned both as-physician and as-inhabitant and-yet indeed with
τῆς ἄλλης λαμπρότητος πολλοῖς καὶ μεγάλοις εὐθηνουμένην
the other splendor with-many and great abounding

ἀνδράσι κατά τε φιλοσοφίαν κατά τε τὴν ἄλλην παίδευσιν.
men in both philosophy in both the other learning
Ἀλλὰ τοῦτο μὲν ἱκανῶς. Τότε δ' οὖν τὸ γενόμενον
but this indeed sufficiently then and then the(-thing) happened
τοῖς μὲν ἄλλοις συντυχία τις ἔδοξεν ἄλογος καὶ ἀναίτιος,
to-the indeed others (a)-chance some seemed irrational and causeless
οἷα φέρει πολλὰ τὸ αὐτόματον ἐν τοῖς ἡμετέροις, τοῖς δὲ
such-as brings many the spontaneous in the our(-affairs) to-the but
φιλοθέοις καὶ λίαν εὔδηλον ἦν μὴ ἄλλο τι συμβὰν
God-loving(-ones) even very clear it-was not other something happening
εἶναι ἢ γονέων θεοφιλῶν ἔργον ἐκ γῆς καὶ θαλάττης
to-be than of-parents God-loved (the)-work from land and sea
τοὺς παῖδας συναγόντων εἰς μίαν εὐχῆς ἐκπλήρωσιν.
the children gathering to one of-prayer fulfillment
Φέρε μηδὲ τοῦτο τῶν Καισαρίου καλῶν παρέλθωμεν, 9
come not-even this — of-Caesarius' good(-things) let-us-pass-over
ὃ τοῖς μὲν ἄλλοις ἴσως μικρὸν, καὶ οὐδὲ μνήμης ἄξιον,
which to-the indeed others perhaps small and not-even of-mention worthy
ἐμοὶ δὲ καὶ τότε καὶ νῦν μέγιστον ἔδοξεν, εἴπερ τῶν
to-me but both then and now greatest seemed if-indeed among-the
ἐπαινετῶν ἡ φιλαδελφία, καὶ οὐ παύσομαι τιθεὶς
praiseworthy(-things) (is)-the brotherly-love and not I-will-cease placing(-it)
ἐν πρώτοις, ὁσάκις ἂν τὰ ἐκείνου ἐκδιηγῶμαι. Κατεῖχε
among (the)-first as-often-as — the his(-deeds) I-recount held
μὲν αὐτὸν αἷς εἶπον τιμαῖς ἡ πόλις, καὶ οὐδ' ἂν
indeed him with-which I-mentioned honors the city and not-even —
εἴ τι γένοιτο μεθήσειν ἔφασκεν· ἐγὼ δὲ ἀνθέλκων
if anything should-happen it-would-let-go it-said I but pulling-back
ἴσχυσα, ὁ πάντα Καισαρίῳ πολὺς καὶ τίμιος, καὶ
prevailed the(-one) in-all to-Caesarius great and honored both
τοῖς γονεῦσι τὴν εὐχὴν πληρῶσαι, καὶ τῇ πατρίδι τὸ
for-the parents the prayer to-fulfill and for-the fatherland the

χρέος, καὶ ἐμαυτῷ τὸν πόθον· λαβὼν τῆς ὁδοῦ κοινωνὸν
debt and for-myself the longing having-taken of-the road (a)-companion
καὶ συνέμπορον, καὶ προτιμηθεὶς οὐ πόλεων καὶ δήμων
and fellow-traveler and preferred not to-cities and peoples
μόνον, οὐδὲ τιμῶν καὶ πόρων, οἳ πολλοὶ καὶ πολλαχόθεν
only nor to-honors and revenues which many and from-many-sides
οἱ μὲν συνέῤῥεον ἐκείνῳ, οἱ δὲ ἠλπίζοντο, ἀλλὰ καὶ
some indeed flowed-together to-him others and were-hoped-for but even
αὐτοῦ βασιλέως σχεδὸν, καὶ τῶν ἐκεῖθεν ἐπιταγμάτων.
(the)-very emperor nearly and the thence commands
Ἐντεῦθεν ἐγὼ μὲν φιλοσοφεῖν διέγνων, καὶ πρὸς τὸν
thereupon I indeed to-philosophize decided and to the
ἄνω βίον μεθαρμοσθῆναι, ὥσπερ τινὰ βαρὺν δεσπότην καὶ
above life to-be-adapted as some heavy master and
ἀῤῥώστημα χαλεπὸν, πᾶσαν φιλοτιμίαν ἀποσεισάμενος·
(a)-sickness grievous all ambition having-shaken-off
μᾶλλον δὲ ὁ μὲν πόθος πρεσβύτερος, ὁ δὲ βίος ὕστερος·
rather but the indeed longing (was)-older the and life later
τὸν δὲ τὰ πρῶτα τῆς παιδεύσεως ἀναθέντα τῇ ἑαυτοῦ
him and the first(-fruits) of-the learning having-dedicated to-the his-own
πατρίδι, καὶ θαυμασθέντα τῶν πόνων ἀξίως, μετὰ τοῦτο
fatherland and admired for-his labors worthily after this
δόξης ἐπιθυμία καὶ τοῦ προστατεύειν τῆς πόλεως, ὡς ἐμέ
of-glory (a)-desire and of-the to-preside-over the city as me
γε συνέπειθε, τοῖς βασιλείοις δίδωσιν, οὐ πάνυ μὲν
at-least persuaded(-him) to-the palace gives not wholly indeed
ἡμῖν φίλα ποιοῦντα, καὶ κατὰ γνώμην· καὶ γὰρ
to-us pleasing(-things) doing and according-to (our)-judgment and for
ἀπολογήσομαι πρὸς ὑμᾶς, ὅτι πολλοστὸν τετάχθαι παρὰ
I-will-make-defense to you that the-lowest to-be-ranked with
Θεῷ κρεῖττον εἶναι δοκεῖ τε καὶ ὑψηλότερον ἢ παρὰ τῷ
God better to-be seems both and loftier than with the

κάτω βασιλεῖ τὰ πρῶτα φέρεσθαι, οὐ μὴν ἄξιός γε
below king the first(-place) to-carry-off not however worthy at-least
μέμψεως. Φιλοσοφεῖν μὲν γὰρ ὅσῳ μέγιστον, τοσούτῳ
of-blame to-philosophize indeed for as-much-as greatest so-much
καὶ χαλεπώτατον, καὶ οὐ πολλῶν τὸ ἐγχείρημα, οὐδ' ἄλλων
also most-difficult and not of-many the undertaking nor of-others
ἢ τῶν ὑπὸ τῆς θείας προκεκλημένων μεγαλονοίας, ἣ
than of-the(-ones) by the divine called greatness-of-mind which
τοῖς προηρημένοις καλῶς χεῖρα δίδωσιν· οὐ μικρὸν δὲ
to-the(-ones) having-chosen well (a)-hand gives not small but
εἴ τις, τὸν δεύτερον προστησάμενος βίον, καλοκἀγαθίας
if someone the second having-set-before(-himself) life to-nobility
μεταποιοῖτο, καὶ πλείω λόγον ἔχοι Θεοῦ καὶ τῆς ἑαυτοῦ
should-lay-claim and more account should-have of-God and of-the his-own
σωτηρίας ἢ τῆς κάτω λαμπρότητος· καὶ τὴν μὲν ὡς
salvation than of-the below splendor and the(-one) indeed as
σκηνὴν προβάλλοιτο, ἤ τι προσωπεῖον τῶν πολλῶν καὶ
(a)-stage should-put-forward or some mask of-the many and
προσκαίρων, τὸ τοῦ κόσμου τούτου δρᾶμα ὑποκρινόμενος,
temporal(-things) the of-the world this drama acting
αὐτὸς δὲ ζῴοι Θεῷ μετὰ τῆς εἰκόνος, ἣν οἶδε παρ'
he and should-live to-God with the image which he-knows from
ἐκείνου λαβὼν καὶ ὀφείλων τῷ δεδωκότι· ὅπερ
him having-received and owing to-the(-one) having-given(-it) which
ἀμέλει καὶ Καισάριον διανοηθέντα γινώσκομεν.
surely also Caesarius having-intended we-know
Τάττεται μὲν γὰρ τὴν πρώτην ἐν ἰατροῖς τάξιν, οὐδὲ 10
he-is-ranked indeed for the first among physicians rank not-even
πολλοῦ πόνου προσδεηθεὶς, ἀλλ' ἐπιδείξας μόνον τὴν
of-much labor having-needed but having-shown only the
παίδευσιν, μᾶλλον δὲ βραχύν τινα τῆς παιδεύσεως οἷον
learning rather but brief some of-the learning as

πρόλογον, κἀν τοῖς φίλοις τοῦ βασιλέως ἀριθμούμενος,
(a)-prologue and-among the friends of-the emperor being-numbered
τὰς μεγίστας καρποῦται τιμάς· ἄμισθον δὲ τὴν τῆς
the greatest he-reaps honors unpaid and the of-the
τέχνης φιλανθρωπίαν τοῖς ἐν τέλει προτίθησιν, εἰδὼς
art kindness to-the(-ones) in office he-offers knowing
οὐδὲν οὕτως ὡς ἀρετὴν καὶ τὸ ἐπὶ τοῖς καλλίστοις
nothing so as virtue and the(-thing) for the noblest(-things)
γινώσκεσθαι προάγειν εἰς τὸ ἔμπροσθεν. Καὶ ὧν
to-be-known to-lead-forward to the front and those-whom
τῇ τάξει δεύτερος ἦν, τούτων κατὰ πολὺ περιῆν
in-the rank second he-was these by much he-surpassed
τῇ δόξῃ· πᾶσι μὲν ὢν διὰ σωφροσύνην ἐπέραστος,
in-the glory to-all indeed being because-of temperance lovable
καὶ διὰ τοῦτο τὰ τίμια πιστευόμενος, καὶ μηδὲν
and because-of this the precious(-things) entrusted and not-at-all
Ἱπποκράτους ὁρκιστοῦ προσδεόμενος, ὡς μηδὲν εἶναι καὶ
of-Hippocrates the-oath-giver needing so-that nothing to-be even
τὴν Κράτητος ἁπλότητα πρὸς τὴν ἐκείνου θεωρουμένην·
the of-Crates simplicity beside the his(-simplicity) seen
πᾶσι δὲ πλέον ἢ κατὰ τὴν ἀξίαν αἰδέσιμος, μεγάλων
to-all and more than according-to the worth revered great(-things)
μὲν ἀεὶ τῶν παρόντων ἀξιούμενος, μειζόνων δὲ ἄξιος
indeed always of-the present thought-worthy of-greater but worthy
εἶναι τῶν ἐλπιζομένων κρινόμενος τοῖς τε βασιλεῦσιν
to-be of-the(-things) hoped-for judged by-the both emperors
αὐτοῖς, καὶ ὅσοι τὰ πρῶτα μετ' ἐκείνους ἔχουσιν· τὸ
themselves and as-many-as the first(-places) after them hold the
δὲ μέγιστον, ὅτι μήτε ὑπὸ τῆς δόξης μήτε ὑπὸ τῆς ἐν
and greatest(-thing) that neither by the glory nor by the in
μέσῳ τρυφῆς τὴν τῆς ψυχῆς εὐγένειαν διεφθάρη· ἀλλὰ
(the)-midst luxury the of-the soul nobility he-was-corrupted but

πολλῶν καὶ μεγάλων ὑπαρχόντων αὐτῷ, πρῶτον ἦν
many and great(-things) belonging to-him first it-was
εἰς ἀξίωμα Χριστιανὸν καὶ εἶναι καὶ ὀνομάζεσθαι· καὶ
for dignity Christian both to-be and to-be-named and
πάντα ὁμοῦ παιδιά τις ἐκείνῳ καὶ λῆρος πρὸς ἓν τοῦτο
all(-things) together (a)-game some to-him and nonsense beside one this
κρινόμενα. Τὰ μὲν γὰρ ἄλλα ὡς ἐπὶ σκηνῆς καὶ ἄλλοις
judged the indeed for others as on (a)-stage also by-others
παίζεσθαι τάχιστα πηγνυμένης τε καὶ καταλυομένης, τάχα
to-be-played quickly being-set-up both and being-taken-down perhaps
δὲ φθειρομένης ῥᾷον ἢ συνισταμένης, ὡς εἶναι
and destroyed more-easily than composed as (it-is)-possible
ἰδεῖν ἐκ τῶν πολλῶν τοῦ βίου μεταβολῶν, καὶ τῆς
to-see from the many of-the life changes and of-the
ἄνω καὶ κάτω μεταπιπτούσης εὐετηρίας· μόνον δὲ ἴδιον
up and down shifting prosperity only and own
ἀγαθὸν εἶναι καὶ παραμένον ἀσφαλῶς τὴν εὐσέβειαν.
(a)-good to-be and remaining securely the piety
Ταῦτα Καισαρίῳ ἐφιλοσοφεῖτο κἀν τῇ χλανίδι· ταύταις 11
these(-things) by-Caesarius were-philosophized even-in the fine-cloak with-these
καὶ συνέζησε ταῖς ἐννοίαις, καὶ συναπῆλθε, μείζω τῆς
both he-lived-together the thoughts and departed-together greater than-the
φαινομένης εἰς τὸ κοινὸν εὐσεβείας, Θεῷ γνωρίζων καὶ
appearing to the public piety to-God making-known and
παριστὰς τὴν κατὰ τὸν κρυπτὸν ἄνθρωπον. Καὶ εἴ
presenting the(-piety) according-to the hidden man and if
με δεῖ, πάντα παρέντα, τὴν προστασίαν τῶν ἐκ
me it-is-needful all(-things) passing-over the protection of-the(-ones) of
γένους ἀτυχησάντων, τὴν ὑπεροψίαν τοῦ τύφου, τὴν πρὸς
(his)-family unfortunate the contempt of-the pride the toward
τοὺς φίλους ἰσοτιμίαν, τὴν πρὸς τοὺς ἄρχοντας παῤῥησίαν,
the friends equality the toward the rulers boldness

τοὺς ὑπὲρ ἀληθείας ἀγῶνας καὶ λόγους, οὓς πολλοὺς
the for truth contests and speeches which many
καὶ πρὸς πολλοὺς συνεστήσατο, οὐ λογικῶς μόνον, ἀλλὰ
and against many he-made not logically only but
καὶ λίαν εὐσεβῶς τε καὶ διαπύρως, ἓν ἀντὶ πάντων
also very piously both and fierily one instead-of all
εἰπεῖν τῶν ἐκείνου τὸ γνωριμώτατον. Ἐλύσσα καθ'
to-say of-the(-deeds) his the best-known raged against
ἡμῶν βασιλεὺς ὁ δυσώνυμος, καὶ καθ' ἑαυτοῦ πρῶτον
us (an)-emperor the ill-named and against himself first
μανεὶς ἐκ τῆς εἰς Χριστὸν ἀθετήσεως, ἀφόρητος
having-gone-mad from the against Christ rejection unbearable
ἤδη καὶ τοῖς ἄλλοις ἦν, οὐδ' ἐν ἴσῳ τοῖς
already also to-the others he-was not-even on (an)-equal(-footing) with-the
λοιποῖς Χριστομάχοις μεγαλοψύχως ἀπογραφόμενος εἰς
other Christ-fighters magnanimously enrolling-himself for
τὴν ἀσέβειαν, ἀλλὰ κλέπτων τὸν διωγμὸν ἐν ἐπιεικείας
the impiety but stealing the persecution in of-mildness
πλάσματι· καὶ κατὰ τὸν σκολιὸν ὄφιν, ὃς τὴν ἐκείνου
(a)-pretense and like the crooked serpent who the his
κατέσχε ψυχὴν, παντοίαις μηχαναῖς ὑποσπῶν τοὺς
held soul with-every-kind-of devices drawing-down the
ἀθλίους εἰς τὸ ἑαυτοῦ βάραθρον. Καὶ τὸ μὲν πρῶτον
wretched into the his-own pit and the indeed first
αὐτῷ τέχνασμά τε καὶ σόφισμα, ἵνα μηδὲ τῆς ἐπὶ
to-him device both and sophism so-that not-even the for
τοῖς ἄθλοις τιμῆς τυγχάνωμεν (ἐφθόνει γὰρ καὶ ταύτης
the contests honor we-should-obtain he-begrudged for even this
Χριστιανοῖς ὁ γεννάδας), πάσχοντας ὡς Χριστιανοὺς, ὡς
to-Christians the noble(-fellow) suffering as Christians as
κακούργους κολάζεσθαι· τὸ δὲ δεύτερον πειθοῦς ὄνομα
malefactors to-be-punished the and second of-persuasion (the)-name

προσεῖναι τῷ γινομένῳ, μὴ τυραννίδος, ὡς ἂν
to-be-attached to-the(-thing) happening not of-tyranny so-that —
μεῖζον ᾖ τοῦ κινδύνου τὸ τῆς αἰσχύνης, αὐθαιρέτως
greater be than-the danger the of-the shame voluntarily
χωροῦσι πρὸς τὴν ἀσέβειαν. Καὶ τοὺς μὲν χρήμασι,
for-(those)-going to the impiety and some indeed by-money
τοὺς δὲ ἀξιώμασι, τοὺς δὲ ὑποσχέσεσι, τοὺς δὲ παντοίαις
others and by-dignities others and by-promises others and by-all-kinds-of
τιμαῖς ὑφελκόμενος, ἃς οὐδὲ βασιλικῶς προσῆγεν, ἀλλὰ
honors drawing-on which not-even royally he-offered but
καὶ λίαν δουλοπρεπῶς ἐν ταῖς ἁπάντων ὄψεσι, πάντας
even very slavishly in the of-all sight all
δὲ τῇ γοητείᾳ τῶν λόγων καὶ τῷ καθ' ἑαυτὸν
and by-the witchcraft of-the words and by-the according-to himself
ὑποδείγματι, ἐπὶ πολλοῖς πειρᾶται καὶ Καισαρίου. Φεῦ τῆς
example after many he-tries also of-Caesarius alas for-the
παραπληξίας καὶ τῆς ἀνοίας, εἰ Καισάριόν τε ὄντα, καὶ
madness and the folly if Caesarius both being and
ἀδελφὸν ἐμὸν, καὶ τῶν γονέων τούτων συλήσειν ἤλπισεν!
brother my and of-the parents these to-plunder he-hoped
Ἀλλ', ἵνα μικρὸν προσδιατρίψω τῷ λόγῳ, καὶ κατατρυφήσω 12
but that (a)-little I-may-linger-on the speech and I-may-revel
τοῦ διηγήματος, ὡς οἱ παρόντες τοῦ θαύματος, εἰσῄει
in-the narrative as the(-ones) present at-the wonder entered
μὲν ὁ γεννάδας ἐκεῖνος, τῷ τοῦ Χριστοῦ σημείῳ
indeed the noble(-fellow) that with-the — of-Christ sign
φραξάμενος, καὶ τὸν μέγαν λόγον ἑαυτοῦ προβαλλόμενος,
fortified and the great word himself putting-before
πρὸς τὸν πολὺν ἐν ὅπλοις, καὶ μέγαν ἐν λόγων δεινότητι·
against the(-man) great in arms and great in of-words cleverness
οὐδὲν δὲ καταπλαγεὶς πρὸς τὴν ὄψιν, οὐδὲ θωπείᾳ τι
nothing but daunted at the face nor by-flattery anything

καταβαλὼν τοῦ φρονήματος, ἀθλητὴς ἕτοιμος ἦν, καὶ λόγῳ
having-lowered of-the spirit (an)-athlete ready he-was both in-word
καὶ ἔργῳ, πρὸς τὸν ἐν ἀμφοτέροις δυνατὸν ἀγωνίζεσθαι.
and in-deed against the(-one) in both mighty to-contend
Τὸ μὲν οὖν στάδιον τοιοῦτον, καὶ ὁ τῆς εὐσεβείας
the indeed then stadium (was)-such and the of-the piety
ἀγωνιστὴς τοσοῦτος· καὶ ἀγωνοθέτης, ἔνθεν μὲν Χριστὸς
contestant so-great and (the)-judge on-this-side indeed Christ
τοῖς ἑαυτοῦ πάθεσι τὸν ἀθλητὴν ἐξοπλίζων, ἐκεῖθεν δὲ
with-the his-own sufferings the athlete arming on-that-side and
δεινὸς τύραννος τῇ τῶν λόγων οἰκειότητι προσσαίνων,
(a)-terrible tyrant by-the of-the words familiarity fawning
καὶ τῷ τῆς ἐξουσίας ὄγκῳ δεδιττόμενος· θέατρον δὲ
and by-the of-the authority weight frightening (the)-theater and
ἀμφοτέρωθεν, τῶν τε τῇ εὐσεβείᾳ λειπομένων ἔτι,
on-both-sides of-the(-ones) both by-the piety left still
καὶ τῶν ὑπ' ἐκείνου συνηρπασμένων, ὅπη νεύσῃ
and of-the(-ones) by him carried-off which-way should-incline
τὰ κατ' αὐτοὺς ἀποσκοπούντων, ὅστις νικήσειε
the(-things) concerning them watching whoever should-win
πλείῳ τὴν ἀγωνίαν ἐχόντων ἢ περὶ οὓς τὸ θέατρον.
more the anxiety having than about whom the theater
13 Ἆρ' οὐκ ἔδεισας περὶ Καισαρίου, μήτι πάθῃ τῆς προθυμίας
is-it not did-you-fear for Caesarius lest he-suffer of-the zeal
ἀνάξιον; Ἀλλὰ θαρσεῖτε· μετὰ Χριστοῦ γὰρ ἡ νίκη τοῦ
unworthy but take-courage with Christ for (is)-the victory the(-one)
τὸν κόσμον νικήσαντος. Τὰ μὲν οὖν καθ' ἕκαστον
the world having-conquered the(-things) indeed then in detail
τῶν τότε ῥηθέντων ἢ προτεθέντων ἐκδιηγεῖσθαι τὰ νῦν
of-the(-things) then said or proposed to-recount — now
ἐγὼ μὲν, εὖ ἴστε, τοῦ παντὸς ἂν ἐτιμησάμην· καὶ γὰρ
I indeed well know(-it) above all — would-have-valued and for

καὶ λογικάς τινας ἐστὶν ἃς ἔχει στροφὰς καὶ κομψείας
also logical some there-are which it-has turns and elegances
ὁ λόγος, ἐμοὶ γοῦν οὐκ ἀηδεῖς εἰς μνήμην· ἔξω δ' ἂν
the discourse to-me at-any-rate not unpleasant for memory outside but —
εἴη παντελῶς τοῦ καιροῦ καὶ τοῦ λόγου. Ὡς δὲ πάσας
it-would-be wholly of-the occasion and of-the discourse as but all
αὐτοῦ τὰς ἐν τοῖς λόγοις πλοκὰς διαλύσας, καὶ πεῖραν
his the in the words entanglements having-loosed and trial
ἅπασαν ἀφανῆ τε καὶ φανερὰν, ὥσπερ τινὰ παιδιὰν
every hidden both and open as-if some game
παρωσάμενος, μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ τὸ Χριστιανὸς
having-pushed-aside with-great and splendid the voice the Christian
εἶναί τε καὶ μένειν ἀνεκήρυξεν, οὐδὲ οὕτω μὲν παντελῶς
to-be both and to-remain he-proclaimed not-even so indeed wholly
ἀποπέμπεται· καὶ γὰρ δεινὸς ἔρως εἶχε τὸν βασιλέα τῇ
he-is-dismissed and for (a)-terrible desire held the emperor with-the
Καισαρίου παιδεύσει συνεῖναι καὶ καλλωπίζεσθαι· ἡνίκα
of-Caesarius learning to-be-together and to-be-adorned when
καὶ τὸ περιβόητον τοῦτο ἐν ταῖς τῶν πάντων ἀκοαῖς
also the famous this in the of-the all hearings
ἐφθέγξατο· Ὦ πατρὸς εὐτυχοῦς, ὦ παίδων δυστυχῶν!
he-uttered O father fortunate O children unfortunate
Ἐπειδὴ καὶ ἡμᾶς ἠξίωσε τιμῆσαι τῇ κοινωνίᾳ τῆς
since also us he-deemed-fit to-honor with-the sharing of-the
ἀτιμίας, ὧν καὶ τὴν παίδευσιν Ἀθήνῃσιν ἔγνω καὶ τὴν
dishonor whose both the learning at-Athens he-knew and the
εὐσέβειαν, δευτέρᾳ δὲ εἰσόδῳ ταμιευθεὶς (ἐπειδή γε
piety at-(a)-second and entrance reserved since at-least
κατὰ Περσῶν ἐκεῖνον ἡ δίκη καλῶς ἐξώπλισεν), ἐπάνεισι
against (the)-Persians him the justice well armed he-returns

πρὸς ἡμᾶς φυγὰς μακάριος, καὶ τροπαιοῦχος ἀναίμακτος,
to us (an)-exile blessed and victorious bloodless
καὶ περιφανέστερος τὴν ἀτιμίαν ἢ τὴν λαμπρότητα.
and more-conspicuous in-the dishonor than in-the splendor
14 Ταύτην ἐγὼ τὴν νίκην τῆς πολλῆς ἐκείνου χειρὸς, καὶ
this I the victory than-the great his hand and
τῆς ὑψηλῆς ἁλουργίδος, καὶ τοῦ πολυτελοῦς διαδήματος
than-the lofty purple and the costly diadem
ὑψηλοτέραν κρίνω μακρῷ καὶ τιμιωτέραν· τούτῳ τῷ
higher I-judge by-far and more-precious in-this the
διηγήματι πλέον ἐπαίρομαι, ἢ εἰ πᾶσαν ἐκείνῳ τὴν
narrative more I-am-elated than if all to-him the
βασιλείαν ἀπεμερίσατο. Τοῖς μὲν οὖν πονηροῖς ὑποχωρεῖ
kingdom he-had-allotted to-the indeed then evil he-yields
χρόνοις, καὶ τοῦτο κατὰ τὴν ἡμετέραν νομοθεσίαν·
times and this according-to the our legislation
ἐνστάντος μὲν καιροῦ διακινδυνεύειν ὑπὲρ τῆς ἀληθείας,
when-it-has-come indeed (the)-time to-run-risks for the truth
καὶ μὴ προδιδόναι δειλίᾳ τὴν εὐσέβειαν· ἕως δ'
and not to-betray through-cowardice the piety as-long-as but
ἂν ἐξῇ, μὴ προκαλεῖσθαι τοὺς κινδύνους κελεύουσαν,
— it-be-possible not to-provoke the dangers commanding
εἴτε δέει τῶν ἡμετέρων ψυχῶν, εἴτε φειδοῖ τῶν
whether from-fear for-the our souls or from-sparing of-the(-ones)
ἐπαγόντων τὸν κίνδυνον. Ἐπεὶ δὲ ὁ ζόφος ἐλύθη, καὶ ἡ
bringing the danger when and the gloom was-dissolved and the
ὑπερορία καλῶς ἐδίκασε, καὶ ἡ στιλβωθεῖσα ῥομφαία τὸν
foreign-land well judged and the polished sword the
ἀσεβῆ κατέβαλε, καὶ Χριστιανοῖς ἐπανῆλθε τὰ πράγματα,
impious struck-down and to-Christians returned the affairs
τί δεῖ λέγειν μεθ' οἵας δόξης τε καὶ τιμῆς, ἢ τῶν
why must-one tell with what-kind-of glory both and honor or the

μαρτυρίων οἵων καὶ ὅσων, καὶ ὡς διδοὺς χάριν μᾶλλον
testimonies what-kind and how-many and as giving (a)-favor rather
ἢ κομιζόμενος, τοῖς βασιλείοις αὖθις ἀναλαμβάνεται, καὶ
than receiving(-one) to-the palace again he-is-taken-up and
διαδέχεται τὴν προτέραν τιμὴν ἡ δευτέρα; Καὶ βασιλεῖς
succeeds the former honor the second and emperors
μὲν ὁ χρόνος παρήμειψε, Καισαρίῳ δὲ τὸ τῆς εὐδοξίας
indeed the time changed to-Caesarius but the of-the good-repute
ἄλυτον, καὶ τῶν παρ᾽ αὐτοῖς πρωτείων· καὶ ἀγὼν
unbroken(-hold) also of-the among them first-places and (a)-contest
βασιλεῦσιν, ὅστις μᾶλλον Καισάριον οἰκειώσηται, καὶ
for-emperors who more Caesarius should-make-his-own and
οὗ μᾶλλον ἐκεῖνος ὀνομασθῇ φίλος καὶ γνώριμος.
of-whom more he should-be-named friend and acquaintance
Τοιαῦτα Καισαρίῳ τὰ τῆς εὐσεβείας, καὶ παρὰ τῆς
such for-Caesarius (were)-the(-things) of-the piety and from the
εὐσεβείας. Ἀκουέτωσαν καὶ νέοι, καὶ ἄνδρες, καὶ διὰ
piety let-hear both young(-men) and men and through
τῆς αὐτῆς ἀρετῆς πρὸς τὴν αὐτὴν ἐπιφάνειαν ἐπειγέσθωσαν
the same virtue to the same distinction let-them-press-on
(Ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεής), ὅσοις καὶ τοῦτο
of-good for labors (the)-fruit (is)-glorious to-as-many-as also this
διὰ σπουδῆς καὶ μέρος εὐδαιμονίας ὑπολαμβάνεται.
by zeal and (a)-part of-happiness is-supposed

Caesarius came alive out of the earthquake at Nicaea and resolved to leave the world, but sickness took him soon after; his mother promises his wealth as his burial gift. Gregory offers this speech as his own gift. He turns to the grieving parents: human life is a dream, a bird's flight, a ship that leaves no track, dust and dew, and Caesarius is freed from its evils. The soul set loose goes at once to its good and later takes back its flesh. Gregory fears only the judgment, and prays God to receive Caesarius now and them in their time.

15 Ἀλλ᾽ οἷον δὴ καὶ τοῦτο τῶν περὶ αὐτὸν θαυμάτων, ὁμοῦ
but such-as indeed also this of-the about him wonders together
τε τῆς τῶν γονέων θεοσεβείας καὶ τῆς ἐκείνου μεγίστην
both of-the of-the parents godliness and of-the his greatest
ἀπόδειξιν ἔχον; Διέτριβε μὲν ἐν τῇ Βιθυνῶν, τὴν
proof having he-was-staying indeed in the(-land) of-the-Bithynians the
οὐ πολλοστὴν ἀπὸ βασιλέως διέπων ἀρχήν· ἣ δὴ ἦν
not lowest from (the)-emperor administering office which indeed was
ταμιεύειν βασιλεῖ τὰ χρήματα, καὶ τῶν θησαυρῶν ἔχειν
to-steward for-(the)-emperor the moneys and of-the treasuries to-have
τὴν ἐπιμέλειαν. Ἐντεῦθεν γὰρ αὐτῷ τὰς μείζους ἀρχὰς
the care from-there for to-him the greater offices
βασιλεὺς προοιμιάζεται· τοῦ δὲ πρώην συνενεχθέντος
(the)-emperor prefaces the and lately having-happened
ἐν Νικαίᾳ σεισμοῦ, ὃς δὴ χαλεπώτατος τῶν
at Nicaea earthquake which indeed most-grievous of-the(-ones)
πώποτε μνημονευομένων γεγονέναι λέγεται, μικροῦ τοὺς
ever remembered to-have-been is-said nearly the
πάντας ἐγκαταλαβόντος, καὶ τῷ τῆς πόλεως κάλλει
all having-caught and with-the of-the city beauty
συναφανίσαντος, μόνος τῶν ἐπιφανῶν, ἢ κομιδῇ σὺν ὀλίγοις,
having-destroyed alone of-the prominent(-men) or quite with few

ἐκ τοῦ κινδύνου περισώζεται, καὶ σωτηρίαν ἀπιστουμένην
from the danger he-is-saved and (a)-salvation beyond-belief
αὐτῷ σκεπασθεὶς τῷ συμπτώματι, καὶ μικρὰ σημεῖα τοῦ
by-very covered the collapse and small marks of-the
κινδύνου φερόμενος, ὅσον τὸν φόβον παιδαγωγὸν λαβεῖν
danger carrying as-much-as the fear (as)-tutor to-take
τῆς μείζονος σωτηρίας, καὶ ὅλως τῆς ἄνω γενέσθαι
of-the greater salvation and wholly of-the above to-become
μοίρας, μεταθέμενος τὴν στρατείαν ἐκ τῶν κινουμένων,
portion changing the service from the(-things) moved
καὶ ἀμείψας ἑαυτῷ τὰ βασίλεια. Τοῦτο μὲν οὖν καὶ
and having-exchanged for-himself the palace this indeed then both
διενοεῖτο, καὶ κατὰ σπουδὴν ἑαυτῷ συνηύχετο, ὡς πρὸς ἐμὲ
he-intended and with zeal for-himself he-prayed as to me
γράφων ἔπειθεν, ἁρπάσαντα τὸν καιρὸν εἰς νουθέτησιν·
writing he-persuaded(-me) having-seized the occasion for admonition
ὅπερ οὐδ' ἄλλοτε ποιῶν ἐπαυσάμην, ζηλοτυπῶν τὸ
which not-even at-other-times doing I-ceased being-jealous-for the
ἐκείνου μεγαλοφυὲς στρεφόμενον ἐν τοῖς χείροσι, καὶ τὴν
his greatness-of-nature turning among the worse(-things) and the
φιλόσοφον οὕτω ψυχὴν ἐν τοῖς δημοσίοις καλινδουμένην,
philosophic so soul in the public(-affairs) rolling-about
καὶ ὥσπερ ἥλιον νέφει συγκαλυπτόμενον. Ἀλλὰ τοῦ
and as-if (a)-sun by-(a)-cloud covered but than-the
μὲν σεισμοῦ κρείττων ἐγένετο, τῆς νόσου δὲ οὐκ ἔτι· καὶ
indeed earthquake stronger he-became than-the sickness but no longer and
γὰρ ἦν ἄνθρωπος. Καὶ τὸ μὲν ἴδιον ἐκείνου, τὸ
for he-was (a)-man and the(-one) indeed own his the(-other)
δὲ κοινὸν πρὸς τοὺς ἄλλους. Καὶ τὸ μὲν τῆς εὐσεβείας,
and common with the others and the(-one) indeed of-the piety
τὸ δὲ τῆς φύσεως. Καὶ προὔλαβεν ἡ παραμυθία τὸ
the(-other) and of-the nature and anticipated the consolation the

πάθος, ἵνα τῷ θανάτῳ σεισθέντες, τῷ παραδόξῳ τῆς τότε
suffering so-that by-the death shaken in-the unexpectedness of-the then
σωτηρίας ἐγκαυχησώμεθα. Καὶ νῦν ἡμῖν ὁ πολὺς Καισάριος
salvation we-might-boast and now to-us the great Caesarius
ἀποσέσωσται, κόνις τιμία, νεκρὸς ἐπαινούμενος, ὕμνοις
has-been-brought-back dust precious (a)-dead(-man) praised with-hymns
ἐξ ὕμνων παραπεμπόμενος, μαρτύρων βήμασι
from hymns escorted at-(the)-martyrs' shrines
πομπευόμενος, γονέων χερσὶν ὁσίαις τιμώμενος, μητρὸς
processed by-parents' hands holy honored (the)-mother
λαμπροφορίᾳ τῷ πάθει τὴν εὐσέβειαν ἀντεισαγούσης,
by-bright-raiment against-the suffering the piety setting-up
δάκρυσιν ἡττωμένοις φιλοσοφίᾳ, ψαλμῳδίαις κοιμιζούσαις
by-tears overcome by-philosophy by-psalmodies lulling
τοὺς θρήνους, καὶ τῆς νεοκτίστου ψυχῆς, ἣν τὸ Πνεῦμα
the laments and of-the newly-created soul which the Spirit
δι' ὕδατος ἀνεμόρφωσεν, ἄξια τὰ γέρα καρπούμενος.
through water refashioned worthy the rewards reaping

16 Τοῦτό σοι, Καισάριε, παρ' ἐμοῦ τὸ ἐντάφιον· αὗται
this to-you Caesarius from me (is)-the burial-gift these
τῶν ἐμῶν λόγων αἱ ἀπαρχαί, οὓς κρυπτομένους πολλάκις
of-the my words the first-fruits which hidden often
μεμψάμενος, ἐπὶ σεαυτὸν γυμνώσειν ἔμελλες. Οὗτος ὁ
having-blamed on yourself to-unveil you-were-going-to this(-is) the
παρ' ἐμοῦ κόσμος· σοὶ δὲ κόσμου παντὸς, εὖ οἶδα,
from me adornment to-you and than-adornment all well I-know
φίλτατος, οὐ σηρῶν περιῤῥέοντα, καὶ μαλακὰ νήματα,
dearest not of-silkworms flowing-around and soft threads
οἷς οὐδὲ περιὼν ἔχαιρες κατὰ τοὺς πολλοὺς, ἀρετῇ
in-which not-even being-alive you-delighted as the many by-virtue
μόνῃ κοσμούμενος, οὐδὲ λίνου διαφανοῦς ὑφάσματα, οὐδὲ
only adorned nor of-linen transparent weavings nor

μύρων πολυτίμων ἐπιχύσεις, ἃ ταῖς γυναικωνίτισιν
of-perfumes very-costly pourings which to-the women's-quarters
ἀπεπέμπου καὶ πρότερον, καὶ ὧν ἡμέρα μία λύει τὴν
you-sent-away even before and of-which day one dissolves the
εὐωδίαν, οὐδ' ἄλλο τι τῶν μικρῶν καὶ τοῖς μικροῖς
fragrance nor other anything of-the small(-things) and to-the small
τιμίων, ἃ πάντα κατέκρυψεν ἂν σήμερον ὁ πικρὸς
precious which all would-have-hidden — today the bitter
λίθος οὗτος μετὰ τοῦ καλοῦ σώματος. Ἐῤῥέτωσάν μοι
stone this with the beautiful body let-them-be-gone for-me
καὶ ἀγῶνες Ἑλληνικοὶ καὶ μῦθοι, δι' ὧν ἔφηβοι δυστυχεῖς
both contests Greek and myths by which youths unfortunate
ἐτιμήθησαν, μικρὰ μικρῶν ἀγωνισμάτων προτιθέντες τὰ
were-honored small(-prizes) for-small contests setting-forth the
ἔπαθλα· καὶ ὅσα διὰ χοῶν τε καὶ ἀπαργμάτων,
prizes and as-many(-things)-as through libations both and first-offerings
ἢ στεμμάτων τε καὶ ἀνθέων νεοδρέπτων, ἀφωσιοῦνται
or of-garlands both and flowers freshly-plucked discharge-duty-to
τοὺς ἀπελθόντας ἀνθρώπους, νόμῳ πατρίῳ μᾶλλον καὶ
the departed men to-law ancestral rather and
ἀλογίᾳ πάθους ἢ λόγῳ δουλεύοντες. Τὸ δὲ ἐμὸν
to-irrationality of-passion than to-reason being-enslaved the but my
δῶρον λόγος, ὃ τάχα καὶ ὁ μέλλων ὑπολήψεται
gift (is-a)-speech which perhaps also the coming will-take-up
πλέουσι λιμὴν εὔδιος, τοῦτο τοῖς ἐνταῦθα χειμαζομένοις
sailing (a)-harbor calm this to-the(-ones) here storm-tossed
ἡ ἐκεῖσε μετάστασις καὶ μετάθεσις· ἢ ὥσπερ οἱ
(is)-the thither removal and transfer or as the(-ones)
μακρὰν ὁδὸν προκαταλύσαντες, τῶν ὁδοιπορούντων
long road having-finished-their-stage-before than-the(-ones) traveling

καὶ μοχθούντων ἔτι ῥᾴους καὶ ἀπονώτεροι· οὕτως οἱ
and toiling still (are)-easier and less-wearied so the(-ones)
ἐπιτυχόντες τοῦ ἐκεῖ καταλύματος, τῶν ἔτι τὴν
having-obtained the there lodging than-the(-ones) still the
σκολιὰν καὶ κρημνώδη τοῦ βίου τούτου τεμνόντων ὁδὸν,
crooked and steep of-the life this cutting road
ἀμείνους καὶ ἀνεκτότεροι.
(are)-better and more-bearable
Ἡμᾶς μὲν οὕτω παραμυθήσῃ· τὴν ποίμνην δὲ πῶς; Πρῶτον 4
us indeed thus you-will-console the flock and how first
μὲν τὴν σὴν ὑποσχόμενος ἐπιστασίαν καὶ ἡγεμονίαν,
indeed the your promising oversight and leadership
οὗ πᾶσι καλὸν ὑπὸ τὰς πτέρυγας ἀναπαύεσθαι,
of-whom for-all (it-is)-fine under the wings to-rest
καὶ οὗ διψῶμεν τῆς φωνῆς μᾶλλον, ἢ πηγῆς τῆς
and whose we-thirst-for the voice more than (for-a)-spring the
καθαρωτάτης οἱ δίψει κάμνοντες. Δεύτερον δὲ
purest the(-ones) with-thirst suffering second and
πείσας, ὡς οὐδὲ νῦν ἡμᾶς ἀπολέλοιπεν ὁ Ποιμὴν
having-persuaded(-them) that not-even now us has-forsaken the Shepherd
ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων·
the good the(-one) laying-down the life for the sheep
ἀλλὰ καὶ πάρεστι, καὶ ποιμαίνει, καὶ ὁδηγεῖ, καὶ γινώσκει
but both he-is-present and shepherds and guides and knows
τὰ ἴδια, καὶ γινώσκεται ὑπὸ τῶν ἰδίων· σωματικῶς
the(-ones) his-own and is-known by the(-ones) his-own bodily
μὲν οὐχ ὁρώμενος, πνευματικῶς δὲ συγγινόμενος, καὶ
indeed not seen spiritually but being-with(-them) and
προπολεμῶν τῆς ποίμνης κατὰ τῶν λύκων, καὶ οὐδενὶ
fighting-before the flock against the wolves and to-no-one
συγχωρῶν διὰ τῆς αὐλῆς ὑπερβαίνοντι λῃστρικῶς τε καὶ
allowing through the fold climbing-over robber-like both and

ἐπιβούλως, ξένῃ φωνῇ κατασύρειν καὶ διακλέπτειν
treacherously with-(a)-strange voice to-drag-down and to-steal-away
ψυχὰς τῇ ἀληθείᾳ καλῶς ἠγμένας. Πείθομαι δ', ὅτι καὶ
souls by-the truth well led I-am-persuaded and that also
τῇ πρεσβείᾳ νῦν μᾶλλον, ἢ πρότερον τῇ διδασκαλίᾳ,
by-the intercession now more than before by-the teaching
ὅσῳ καὶ μᾶλλον ἐγγίζει Θεῷ, τὰς σωματικὰς πέδας
by-as-much-as also more he-draws-near to-God the bodily fetters
ἀποσεισάμενος, καὶ τῆς ἐπιθολούσης τὸν νοῦν ἰλύος
having-shaken-off and from-the clouding the mind mire
ἀπηλλαγμένος, καὶ γυμνῷ γυμνὸς ἐντυγχάνων τῷ πρώτῳ
freed and with-naked naked conversing with-the first
καὶ καθαρωτάτῳ νοΐ, τάξεως καὶ παῤῥησίας ἀγγελικῆς,
and purest mind of-(the)-rank and boldness angelic
εἰ μὴ τολμηρὸν τοῦτο εἰπεῖν, ἀξιούμενος. Ταῦτα μὲν
if not bold this to-say deemed-worthy these(-things) indeed
οὖν αὐτὸς διαθήσεις καὶ φιλοσοφήσεις ἄμεινον ἢ ὡς ἂν
then yourself you-will-set-forth and you-will-philosophize better than as —
αὐτὸς παραδείξαιμι, καὶ λόγου δυνάμει καὶ πνεύματος.
I-myself might-show and of-word by-(the)-power and of-spirit
Ἵνα δὲ μὴ δι' ἄγνοιαν τῶν ἐκείνου καλῶν παραπολὺ
so-that and not because-of ignorance of-the his fine(-things) by-far
τῆς ἀξίας ὁ λόγος ἐλαττωθῇ, βραχέα τῆς εὐφημίας, ἐξ
of-the worth the discourse be-diminished brief(-things) of-the praise from
ὧν αὐτὸς συνεπίσταμαι τῷ ἀπελθόντι, σκιαγραφήσω, καὶ
what I-myself am-conscious-of with-the departed(-man) I-will-sketch and
προχαράξω, καὶ παραδώσω σοι, τῷ καλῷ τῶν τοιούτων
I-will-outline-beforehand and I-will-hand-over to-you the fine of-the such(-things)
γραφεῖ, τῆς ἀρετῆς τῆς ἐκείνου τὸ κάλλος ἀπακριβῶσαι,
painter of-the virtue the his the beauty to-make-exact
καὶ παραδοῦναι ταῖς πάντων ἀκοαῖς τε καὶ διανοίαις.
and to-hand-on to-the of-all ears both and minds

Ἐκεῖνος τοίνυν (ἵνα πατρίδα, καὶ γένος, καὶ σώματος 5
he therefore so-that (the)-fatherland and family and of-body
εὐφυΐαν, καὶ τὴν ἔξωθεν περιφάνειαν, καὶ τἄλλα οἷς
good-form and the outward distinction and the-rest in-which
μέγα φρονοῦσιν ἄνθρωποι, τοῖς τῶν ἐγκωμίων νόμοις
greatly pride-themselves men to-the of-the encomiums laws
παρεὶς, ἐκ τῶν ἡμῖν πρώτων καὶ οἰκειοτάτων
passing-over from the(-things) for-us first and most-our-own
ἄρξωμαι), ῥίζης ἐγένετο βλάστημα οὐκ ἐπαινετῆς, οὐδὲ
I-may-begin of-(a)-root he-was (the)-shoot not praiseworthy nor
εὐφυοῦς εἰς εὐσέβειαν (οὐ γὰρ αἰσχύνομαι τοῖς πρώτοις,
well-disposed toward piety not for I-am-ashamed of-the first(-things)
τοῖς τελευταίοις θαῤῥῶν), οὐδὲ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ
in-the last(-things) trusting nor in the house — of-God
πεφυτευμένης, ἀλλὰ καὶ λίαν ἀτόπου καὶ ἀλλοκότου, ἐκ
planted but even very strange and outlandish from
δυοῖν τοῖν ἐναντιωτάτοιν συγκεκραμένης, Ἑλληνικῆς τε
two the most-opposed mixed of-Hellenic both
πλάνης, καὶ νομικῆς τερατείας· ὧν ἀμφοτέρων τὰ μέρη
error and of-legal imposture of-which of-both the parts
φυγὼν, ἐκ μερῶν συνετέθη. Τῆς μὲν γὰρ τὰ εἴδωλα
having-fled from parts he-was-compounded of-the(-one) indeed for the idols
καὶ τὰς θυσίας ἀποπεμπόμενοι, τιμῶσι τὸ πῦρ καὶ τὰ
and the sacrifices rejecting they-honor the fire and the
λύχνα· τῆς δὲ τὸ Σάββατον αἰδούμενοι, καὶ τὴν περὶ
lamps of-the(-other) and the Sabbath respecting and the about
τὰ βρώματα ἔστιν ἃ μικρολογίαν, τὴν περιτομὴν
the foods there-are(-cases)-where — petty-scruple the circumcision
ἀτιμάζουσιν. Ὑψιστάριοι τοῖς ταπεινοῖς ὄνομα, καὶ ὁ
they-dishonor Hypsistarians for-the lowly(-ones) (is-the)-name and the
Παντοκράτωρ δὴ μόνος αὐτοῖς σεβάσμιος. Καὶ οὕτω
Almighty indeed alone to-them (is)-venerable and so

διφυής τις ὢν εἰς ἀσέβειαν, ἐκ τίνος τί γίνεται;
double-natured someone being toward impiety from what what comes-to-be
Οὐκ οἶδα, πότερον τὴν καλέσασαν αὐτὸν χάριν ἐπαινέσω
not I-know whether the having-called him grace I-should-praise
πλέον, ἢ τὴν ἐκείνου προαίρεσιν. Πλὴν οὕτω τὸν τῆς
more or the his choice only so the of-the
διανοίας ὀφθαλμὸν τῆς ἐπικειμένης αὐτῷ λήμης ἀνεκαθάρθη,
mind eye of-the lying-upon him rheum he-was-cleansed
καὶ τοσούτῳ τάχει τῇ ἀληθείᾳ προσέδραμεν, ὥστε ὅτι
and with-such speed to-the truth he-ran so-that that
μὲν καὶ μητρὸς, καὶ οὐσίας ἐκπεσεῖν ἄχρι τινὸς, ὑπὲρ
indeed both from-mother and from-property to-fall-away up-to some(-point) for
τοῦ ἄνω Πατρὸς καὶ τῆς ἀληθινῆς κληρονομίας ἠνέσχετο,
the above Father and the true inheritance he-endured
καὶ ῥᾷον ἤνεγκε τὴν ἀτιμίαν ταύτην, ἢ τὰς μεγίστας
and more-easily bore the dishonor this than the greatest
τιμὰς ἕτεροι, τοῦτο μὲν ἧττον θαυμάζω, καίτοι λίαν
honors others this indeed less I-admire although very
ὂν θαυμαστόν. Διατί; Ὅτι κοινὸν αὐτῷ πρὸς πολλοὺς
being admirable why because common to-him with many
ἄλλους τὸ φιλοτίμημα, καὶ πάντας εἴσω γενέσθαι δεῖ
others (is)-the distinction and all within to-come (it)-must
τῆς μεγάλης τοῦ Θεοῦ σαγήνης, καὶ τοῖς τῶν ἁλιέων
the great — of-God net and by-the of-the fishermen
λόγοις σαγηνευθῆναι, κἂν οἱ μὲν πρότερον, οἱ
words to-be-netted even-if the(-ones) indeed earlier the(-others)
δὲ ὕστερον τῷ Εὐαγγελίῳ περιληφθῶσιν. Ὃ δὲ μάλιστά
and later by-the Gospel be-caught what and most
μοι τῶν ἐκείνου θαυμάζειν ἔπεισι, τοῦτο εἰπεῖν ἀναγκαῖον.
to-me of-the his(-things) to-admire occurs this to-say (is)-necessary

Ἐκεῖνος καὶ πρὸ τῆς ἡμετέρας αὐλῆς ἦν ἡμέτερος· εἰσεποίει 6
he even before the our fold was ours adopted
γὰρ αὐτὸν ἡμῖν ὁ τρόπος. Ὥσπερ γὰρ πολλοὶ τῶν
for him to-us the manner as for many of-the
ἡμετέρων οὐ μεθ᾽ ἡμῶν εἰσιν, οὓς ὁ βίος ἀλλοτριοῖ τοῦ
ours not with us are whom the life estranges from-the
κοινοῦ σώματος· οὕτω πολλοὶ τῶν ἔξωθεν πρὸς ἡμῶν,
common body so many of-the(-ones) outside (are)-on our(-side)
ὅσοι τῷ τρόπῳ τὴν πίστιν φθάνουσι, καὶ δέονται
as-many-as by-the manner the faith anticipate and lack
τοῦ ὀνόματος, τὸ ἔργον ἔχοντες. Τούτων καὶ ὁ ἐμὸς ἦν
the name the deed having of-these also the my was
πατὴρ, πτόρθος ἀλλότριος, τῷ βίῳ πρὸς ἡμᾶς ἐπικλίνων.
father (a)-branch foreign in-the life to us inclining
Σωφροσύνῃ μέν γε τοσοῦτον διήνεγκεν, ὥστε ὁ αὐτὸς
by-temperance indeed at-least so-much he-excelled that the same
ἐρασμιώτατός τε ἅμα γενέσθαι καὶ κοσμιώτατος· ἃ
most-lovable both at-once to-be and most-decorous which
χαλεπὸν ἀμφότερα συνδραμεῖν. Δικαιοσύνης δὲ τί μεῖζον
(is)-hard both to-run-together of-justice and what greater
γνώρισμα καὶ περιφανέστερον, ἢ ὅτι πολιτείας οὐ τὰ
token and more-conspicuous than that of-the-state not the
δεύτερα ἐσχηκὼς, οὐδὲ μιᾷ δραχμῇ πλείω τὴν οὐσίαν
second(-places) having-held not-even by-one drachma more the property
πεποίηκε, καίτοιγε τοὺς ἄλλους ὁρῶν τὰς Βριάρεω χεῖρας
he-made although the others seeing the of-Briareus hands
ἐπιβάλλοντας τοῖς δημοσίοις, καὶ τοῖς κακοῖς πόροις
laying-on the public(-funds) and with-the evil revenues
φλεγμαίνοντας; οὕτω γὰρ ἐγὼ καλῶ τὴν ἄδικον εὐπορίαν.
swelling so for I call the unjust prosperity
Φρονήσεως δὲ, μικρὰ μὲν οὐδὲ ταῦτα γνωρίσματα,
of-wisdom and small indeed not-even these(-are) tokens

δηλώσει δὲ τὰ πλείω προϊὼν ὁ λόγος. Τούτων καὶ μισθὸν,
will-show but the more(-things) proceeding the discourse of-these also (as-a)-wage
οἶμαι, τὴν πίστιν ἠνέγκατο. Τὸ δὲ ὅπως (οὐδὲ γὰρ ἄξιον
I-think the faith he-won the and how nor for (it-is)-worthy
σιωπᾶσθαι πρᾶγμα τοσοῦτον), αὐτοὶ παραστήσωμεν.
to-be-passed-over-in-silence (a)-matter so-great ourselves let-us-present

7 Γυναῖκα μὲν ἀνδρείαν τίς εὑρήσει; τῆς θείας ἤκουσα
(a)-woman indeed valiant who will-find the divine I-heard
λεγούσης Γραφῆς· καὶ τὸ δῶρον θεόθεν εἶναι, τὴν ἀγαθὴν
saying Scripture and the gift from-God to-be the good
παρὰ τοῦ Κυρίου συζυγίαν ἁρμόζεσθαι. Τὸ δ' αὐτὸ δοκεῖ
from the Lord yoking to-be-fitted the and same seems
καὶ τοῖς ἔξωθεν· εἴπερ ἐκείνων τὸ, Γυναικὸς
also to-the(-ones) outside if-indeed theirs (is)-the(-saying) than-(a)-woman
ἀνὴρ χρῆμ' οὐδὲν ληίζεται κάλλιον ἐσθλῆς, οὐδὲ χεῖρον
(a)-man thing none wins better good nor worse
τῆς ἐναντίας. Τοῦ δὲ οὐκ ἔστιν εἰπεῖν, ὅστις
than-the opposite than-him and not it-is (possible)-to-say who
κατὰ τοῦτο εὐδαιμονέστερος. Οἶμαι γὰρ, εἴ τις ἐκ
in this (was)-happier I-think for if anyone from
περάτων γῆς, καὶ παντὸς γένους ἀνθρώπων, τὴν ἀρίστην
(the)-ends of-earth and of-every race of-men the best
ἁρμόσασθαι συζυγίαν ἐσπούδασεν, οὐκ εἶναι ταύτης εὑρεῖν
to-fit yoking had-been-eager not to-be than-this to-find
ἀμείνω καὶ ἁρμοδιωτέραν. Οὕτω γὰρ ἀνδρῶν καὶ γυναικῶν
better and more-fitting so for of-men and of-women
εἰς ἓν συνῆλθε τὰ κράτιστα, ὥστε οὐχ ἧττον ἀρετῆς ἢ
into one came-together the best(-things) that not less of-virtue than
σωμάτων γενέσθαι συζυγίαν τὸν γάμον· ἐπεὶ τῶν ἄλλων
of-bodies to-become (a)-yoking the marriage since the others

κρατοῦντες, ἀλλήλων κρατεῖν οὐκ εἶχον, διὰ τὸ τῆς
ruling one-another to-rule not they-could because-of the of-the
ἀρετῆς ἰσόῤῥοπον καὶ ὁμότιμον.
virtue equal-balance and equal-honor
Καὶ τῷ μὲν Ἀδὰμ ἡ δοθεῖσα κατ' αὐτὸν 8
and — indeed to-Adam the(-woman) given according-to him
βοηθὸς (ἐπειδὴ καλὸν ἦν μὴ μόνον εἶναι τὸν ἄνθρωπον),
(as-a)-helper since good it-was not alone to-be the man
ἀντὶ συνεργοῦ πολεμία κατέστη, καὶ οὐχ ὁμόζυγος,
instead-of (a)-fellow-worker (an)-enemy became and not yoke-fellow
ἀλλ' ἀντίθετος· κλέψασα τὸν ἄνδρα δι' ἡδονῆς, καὶ τῷ
but opponent having-stolen the husband through pleasure and by-the
ξύλῳ τῆς γνώσεως τοῦ ξύλου τῆς ζωῆς ἀλλοτριώσασα.
tree of-the knowledge from-the tree of-the life having-estranged(-him)
Τῷ δὲ οὐ συνεργὸς μόνον ἡ παρὰ Θεοῦ
to-the(-other) and not (a)-fellow-worker only the(-woman) from God
δοθεῖσα (ἧττον γὰρ τοῦτο θαυμαστὸν), ἀλλὰ καὶ ἀρχηγὸς
given less for this (is)-wonderful but even leader
γίνεται, ἔργῳ τε καὶ λόγῳ πρὸς τὰ κράτιστα δι' ἑαυτῆς
becomes by-deed both and by-word to the best(-things) through herself
ἄγουσα· καὶ τὰ μὲν ἄλλα τοῦ ἀνδρὸς κρατεῖσθαι
leading and the(-things) indeed other by-the husband to-be-ruled
νόμῳ συζυγίας ἄριστον εἶναι κρίνουσα, τῆς εὐσεβείας
by-(the)-law of-yoking best to-be judging in-the piety
δὲ οὐκ αἰσχυνομένη παρέχειν ἑαυτὴν καὶ διδάσκαλον. Ὃ
but not ashamed to-offer herself even (as)-teacher which
θαυμάζειν μὲν ἐκείνης ἄξιον, θαυμάζειν δὲ πλέον τὸν
to-admire indeed in-her (is)-worthy to-admire but more the(-man)
ἑκοντὶ ἡττώμενον. Ἐκείνη γάρ ἐστιν ἡ, τῶν ἄλλων
willingly being-outdone she for is the(-woman)-who the other
γυναικῶν κάλλει φιλοτιμουμένων καὶ ὑψουμένων, ὅσον
women in-beauty priding-themselves and exalted as-much-as

τε φυσικὸν καὶ ὅσον ἐπίπλαστον, ἓν ἐπισταμένη κάλλος,
both (is)-natural and as-much-as artificial one knowing beauty
τὸ τῆς ψυχῆς, καὶ τὸ τὴν θείαν εἰκόνα ἢ συντηρεῖν,
the(-beauty) of-the soul and the the divine image either to-preserve
ἢ ἀνακαθαίρειν εἰς δύναμιν· τοὺς δὲ γραπτοὺς καὶ
or to-cleanse-again to (her)-power the and painted and
τεχνητοὺς κόσμους, ταῖς ἐπὶ τῆς σκηνῆς ἀπορῥίψασα.
artificial adornments to-the(-women) on the stage having-thrown-away
Μίαν δὲ ἀληθινὴν εὐγένειαν γινώσκουσα, τὴν εὐσέβειαν, καὶ
one and true nobility knowing the piety and
τὸ εἰδέναι πόθεν τε γεγόναμεν, καὶ ποῖ καταντήσομεν. Ἕνα
the to-know whence both we-have-come and where we-will-arrive one
δὲ πλοῦτον ἀσφαλῆ τε καὶ ἄσυλον, τὸ ἀποπλουτεῖν Θεῷ,
and wealth secure both and inviolable the to-spend-wealth for-God
καὶ τοῖς πένησι, καὶ μάλιστα τῶν ἐκ γένους τοῖς
and for-the poor and most of-the(-ones) of family the(-ones)
ἀπανθήσασιν· οἷς τὸ μὲν ἄχρι τῆς χρείας ἐπαρκεῖν, οὐ
having-faded to-whom the indeed up-to the need to-supply not
λύσιν τῆς συμφορᾶς, ἀλλ' ὑπόμνησιν ἔχειν ἐνόμιζεν· τὸ
(a)-release of-the misfortune but (a)-reminder to-hold she-thought the
δὲ ἐλευθεριώτερον εὖ ποιεῖν, τοῦτο εἶναι τιμῆς βεβαίας καὶ
but more-liberally well to-do this to-be of-honor sure and
παραμυθίας τελεωτάτης. Καὶ τῶν μὲν τῇ οἰκωφελείᾳ
of-consolation most-perfect and of-the(-women) indeed in-the thrift
προεχουσῶν, τῶν δὲ τῇ εὐσεβείᾳ (καὶ γὰρ χαλεπὸν
excelling of-the(-others) and in-the piety and for hard
ἀμφοτέρων ἐπιτυχεῖν), ἀμφοτέροις ἁπάσας νικήσασα, καὶ
both to-attain in-both all having-conquered both
τῷ περὶ ἑκάτερον ἄκρῳ, καὶ τῷ μόνη τὰ δύο συναγαγεῖν.
by-the in each height and by-the alone the two to-bring-together
Οὕτω μὲν τὸν οἶκον συναύξουσα ταῖς ἑαυτῆς ἐπιμελείαις
so indeed the house increasing with-the her-own cares

καὶ περινοίαις, κατὰ τοὺς Σολομῶντος περὶ τῆς ἀνδρείας
and contrivances according-to the of-Solomon about the valiant
γυναικὸς ὅρους καὶ νόμους, ὡς εὐσεβεῖν οὐκ εἰδυῖα· οὕτω δὲ
woman bounds and laws as to-be-pious not knowing so and
προσκειμένη Θεῷ καὶ τοῖς θείοις, ὡς οἰκουρίας πλεῖστον
devoted to-God and to-the divine(-things) as from-housekeeping most
ἀπέχουσα· καὶ οὐδὲν ὑπὸ τοῦ ἑτέρου παραβλαπτομένη
removed and in-nothing by the one harmed
πρὸς θάτερον, ἀμφότερα δὲ δι' ἀλλήλων κρατύνουσα.
toward the-other both but through one-another strengthening
Τίς μὲν ἔλαθεν ἐκείνην, εὐχῆς ἢ καιρὸς, ἢ τόπος; ὃ καὶ 9
who indeed escaped her of-prayer either time or place which even
πρῶτον ἦν αὐτῇ πάντων τῆς ἡμέρας κίνημα. Μᾶλλον
first was for-her of-all of-the day (the)-movement rather
δὲ τίς οὕτως ἔχειν ὁμοῦ τῷ αἰτεῖν τὸ αἰτούμενον
and who so to-have at-once with-the asking the(-thing) asked
ἤλπισεν; Τίς δὲ ἱερέων οὕτως ἠδέσθη χεῖρα καὶ πρόσωπον,
hoped who and of-priests so reverenced hand and face
ἢ πᾶν εἶδος φιλοσοφίας ἐτίμησεν; Τίς δὲ μᾶλλον νηστείαις
or every kind of-philosophy honored who and more with-fastings
καὶ ἀγρυπνίαις τὰς σάρκας ὑπέσπασεν, ἢ ψαλμῳδίαις
and vigils the flesh subdued or with-psalmodies
ἑαυτὴν ἐστήλωσε παννύχοις τε καὶ ἡμερησίαις; Τίς μὲν
herself set-up-like-a-pillar all-night both and by-day who indeed
παρθενίαν ἠγάσθη πλέον, καίπερ ἀνασχομένη δέσεως; Τίς
virginity admired more though having-endured binding who
δὲ ὀρφανῶν καὶ χηρῶν ἀμείνων ἐγένετο παραστάτις; τίς
and of-orphans and of-widows better became helper who
δὲ πενθοῦσι τὰς συμφορὰς οὕτω συννυπεκούφισε; Καὶ
and with-(the)-mourning the misfortunes so lightened and
ταῦτα δὴ, τὰ μικρὰ μὲν ἴσως, τυχὸν δέ τισι καὶ
these(-things) indeed the small(-things) indeed perhaps it-may-be and by-some also

διαπτυόμενα, ὅτι μηδὲ προσιτὰ ῥᾳδίως τοῖς πλείοσι (τὸ
spat-upon because not-even accessible easily to-the more the
γὰρ οὐκ ἐφικτὸν οὐδὲ πιστόν πως διὰ τὸν φθόνον),
for not attainable nor credible somehow because-of the envy
ἐμοὶ δὲ καὶ λίαν τιμώμενα, ὅτι πίστεως ἦν εὑρήματα,
by-me but even very honored because of-faith they-were discoveries
καὶ πνευματικῆς ζέσεως ἐγχειρήματα. Οἷον τὸ μήποτε
and of-spiritual fervor undertakings such-as the never
φωνὴν αὐτῆς ἐν ἱεροῖς ἀκουσθῆναι συλλόγοις, ἢ τόποις,
voice her in sacred to-be-heard assemblies or places
ἔξω τῶν ἀναγκαίων καὶ μυστικῶν.
outside the(-words) necessary and mystical
10 Καὶ εἰ μέγα τῷ θυσιαστηρίῳ ποτὲ τὸ μὴ πέλεκυν ἐπ'
and if great for-the altar once the not (an)-axe on
αὐτὸ ἀναβῆναι, μηδὲ ὀφθῆναι, ἢ ἀκουσθῆναι λαξευτήριον
it to-come-up nor to-be-seen or to-be-heard (a)-chisel
(λόγῳ μείζονι, ὡς δέον φυσικὸν καὶ ἄτεχνον εἶναι πᾶν
by-reason greater as needful natural and artless to-be all-that
τῷ Θεῷ καθιερούμενον), πῶς οὐχὶ καὶ παρ' ἐκείνης
— to-God dedicated how not also on her-part
μέγα, τὸ σιωπῇ τιμᾶσθαι τὰ ἅγια, τὸ μήποτε νῶτα
great the in-silence to-be-honored the holy(-things) the never (the)-back
δοθῆναι τῇ σεβασμίῳ τραπέζῃ, μηδὲ καταπτυσθῆναι
to-be-turned to-the venerable table nor to-be-spat-upon
θεῖον ἔδαφος, τὸ μήποτε δεξιὰν ἐμβληθῆναι ἢ χείλη
(the)-divine floor the never (a)-right-hand to-be-placed-in or lips
μιγῆναι χερσὶν Ἑλληνικαῖς ἢ χείλεσι μηδὲ τῆς τἄλλα
to-be-mingled with-hands Hellenic or with-lips not-even of-the in-other-things
κοσμιωτάτης γυναικὸς καὶ οἰκειοτάτης; ἀλλὰ μηδὲ ἁλῶν
most-decorous woman and most-intimate but not-even of-salt
κοινωνῆσαι, μὴ ὅτι ἑκοῦσαν, ἀλλὰ μηδὲ βιασθεῖσαν,
to-share not that willingly but not-even forced

τοῖς ἀπὸ τῆς βεβήλου καὶ ἀνάγνου τραπέζης· μηδὲ
with-the(-things) from the profane and unholy table nor
μιαρὸν οἶκον ἢ παρελθεῖν ποτε, ἢ ἰδεῖν ἀνασχέσθαι,
(a)-foul house either to-pass-by ever or to-see to-endure
παρὰ τὴν τοῦ συνειδότος νομοθεσίαν· μηδὲ διηγήμασιν
against the of-the conscience legislation nor by-tales
Ἑλληνικοῖς, ἢ ᾄσμασι θεατρικοῖς καταμολυνθῆναι τὴν
Hellenic or by-songs theatrical to-be-defiled the
ἀκοὴν, ἢ τὴν γλῶσσαν, τὴν τὰ θεῖα δεχομένην ἢ
hearing or the tongue the the divine(-things) receiving or
φθεγγομένην (οὐδὲν γὰρ ἱεροῖς πρέπειν ἀνίερον)· καὶ
uttering nothing for to-holy(-things) to-befit unholy and
ὃ τούτων θαυμασιώτερον, τὸ μήποτε τοσοῦτον δοῦναι
what than-these more-wonderful the never so-much to-give
πένθει σωματικῷ, καίτοιγε διαφερόντως καμπτομένην καὶ
to-grief bodily although especially bent even
τοῖς τῶν ξένων πάθεσιν, ὥστε ἢ γοεράν ποτε πρὸ
by-the of-the strangers sufferings that either (a)-mournful ever before
τῆς εὐχαριστίας ῥαγῆναι φωνὴν, ἢ δάκρυον ἐκπεσεῖν
the thanksgiving to-break-out voice or (a)-tear to-fall
βλεφάρου μυστικῶς σφραγισθέντος, ἢ σχῆμα πένθιμον
from-(an)-eyelid mystically sealed or (a)-garb of-mourning
παραμένειν, καίτοιγε πολλῶν πολλάκις συμπεσόντων αὐτῇ
to-remain although many often having-befallen her
λυπηρῶν, λαμπρᾶς παρούσης ἡμέρας. Ψυχῆς γὰρ εἶναι
griefs (a)-bright present day of-(a)-soul for (it-is)-to-be
θεοφιλοῦς ὑποκλίνειν τοῖς θείοις ἅπαν ἀνθρώπινον.
God-loving to-subject to-the divine(-things) all human
Καὶ σιωπῶ τὰ τούτων ἀποῤῥητότερα, ὧν Θεὸς 11
and I-pass-over the(-things) than-these more-secret of-which God
μάρτυς, καὶ τῶν πιστῶν θεραπαινίδων αἷς τὰ τοιαῦτα
(is)-witness and of-the faithful maidservants to-whom the such(-things)

ἐπίστευσε. Τὸ γὰρ καθ' ἡμᾶς ἴσως οὐδὲ μνήμης
she-entrusted the(-thing) for concerning us perhaps not-even of-mention
ἀξιωτέον, ὡς ἀναξίους τοῦ ἐλπισθέντος· εἰ
(is)-to-be-deemed-worthy as unworthy of-the(-thing) hoped if
κἀκείνῃ μέγα τὸ ἐπιχείρημα, ὅτι καὶ πρὸ γενέσεως
even-for-her great(-thing) (was)-the undertaking that even before birth
ἡμᾶς καθυπέσχετο τῷ Θεῷ, μηδὲν τὸ μέλλον εὐλαβηθεῖσα,
us she-promised — to-God nothing the future fearing
καὶ γεννηθέντας εὐθὺς ἀνέθηκε. Θεοῦ δὲ τὸ μὴ
and (when)-born at-once dedicated(-us) of-God and (it-was)-the not
πάντη διαμαρτεῖν αὐτὴν τῆς εὐχῆς, μηδὲ ἀπωσθῆναι
wholly to-fail-of her of-the prayer nor to-be-rejected
τὸ καλλιέρημα. Τούτων μὲν οὖν τὰ μὲν παρῆν
the fair-offering of-these indeed then the(-things) indeed were-present
ἤδη, τὰ δὲ ἔμελλε, ταῖς κατὰ μέρος προσθήκαις
already the(-things) and were-to-come by-the in part additions
αὐξόμενα. Καὶ καθάπερ ἥλιος ἥδιστον ταῖς ἑωθιναῖς
increased and just-as (the)-sun most-sweetly with-the morning
προσβάλλων ἀκτῖσι, ταῖς μεσημβριναῖς θερμότερος ἵσταται
striking rays with-the noonday warmer stands
καὶ φαιδρότερος· οὕτω καὶ αὕτη, οὐ μικρὰ τὰ τῆς
and brighter so also she not small the(-signs) of-the
εὐσεβείας ἀπ' ἀρχῆς ὑποφαίνουσα, τῷ τελευταίῳ φωτὶ
piety from (the)-beginning showing with-the last light
πλέον ἐξέλαμψε. Τότε δ' οὖν κέντρον οὐ μικρὸν εὐσεβείας
more shone-out then and indeed (a)-goad not small of-piety
οἴκοθεν εἶχεν αὐτὴν ὁ εἰσοικισάμενος, ἄνωθεν
from-home had her the(-man) having-brought-(her)-into-the-house from-above
μὲν, καὶ ἐκ προγόνων φιλόθεόν τε καὶ φιλόχριστον, καὶ
indeed and from ancestors God-loving both and Christ-loving and
πατρῷον κλῆρον διαδεξαμένην τὸν τῆς ἀρετῆς· ἀλλ'
(the)-ancestral lot having-received the(-lot) of-the virtue but

οὐκ ἐκ τῆς ἀγριελαίου, καθὼς ἐκεῖνος, ἐγκεντρισθεῖσαν
not from the wild-olive as he grafted
εἰς καλλιέλαιον, οὐ φέρουσαν δὲ τὸ ἑτεροζυγεῖν δι᾽
into (the)-good-olive not bearing but the to-be-unequally-yoked because-of
ὑπερβολὴν πίστεως· ἀλλὰ τοῦτο μόνον φιλοσοφῆσαι μὴ
excess of-faith but this only to-bear-philosophically not
δυναμένην, τἄλλα καρτερικωτάτην οὖσαν γυναικῶν καὶ
able in-other-things most-enduring being of-women and
ἀνδρικωτάτην, τὸ ἐξ ἡμισείας ἡνῶσθαι τῷ Θεῷ διὰ
most-manly the by half to-be-united — to-God because-of
τὴν τοῦ τμήματος ἀλλοτρίωσιν, ἀλλὰ μὴ προστεθῆναι τῇ
the of-the part estrangement but not to-be-added to-the
σωματικῇ συναφείᾳ τὴν συμφυΐαν τοῦ πνεύματος· καὶ διὰ
bodily union the oneness of-the spirit and because-of
τοῦτο προσπίπτουσαν μὲν τῷ Θεῷ νυκτὸς καὶ ἡμέρας,
this falling-down indeed — before-God by-night and by-day
καὶ παρ᾽ αὐτοῦ τὴν σωτηρίαν τῆς κεφαλῆς αἰτουμένην
and from him the salvation of-the head asking
ἐν πολλαῖς νηστείαις καὶ δάκρυσι, προσκειμένην δὲ τῷ
in many fastings and tears devoting-herself and to-the
ἀνδρὶ φιλοπόνως, καὶ πολυτρόπως αὐτὸν ἐμπορευομένην,
husband laboriously and in-many-ways him winning
ὀνειδισμοῖς, νουθεσίαις, θεραπείαις, ἀλλοτριώσεσι, τὸ
by-reproaches admonitions attentions estrangements the
μέγιστον, τῷ οἰκείῳ τρόπῳ, καὶ τῷ θερμοτέρῳ περὶ τὴν
greatest(-thing) by-the own manner and by-the warmer about the
εὐλάβειαν, ᾧ μάλιστα ψυχὴ κάμπτεται καὶ μαλάσσεται,
reverence by-which most (a)-soul is-bent and is-softened
πρὸς ἀρετὴν ἑκουσίως βιαζομένη. Ἔμελλε δὲ ἄρα κοιλαίνειν
toward virtue willingly forced was-going and after-all to-hollow

τὴν πέτραν ἡ τοῦ ὕδατος ῥανὶς ἀεὶ πλήττουσα, καὶ χρόνῳ
the rock the of-the water drop always striking and in-time
διανύσειν τὸ σπουδαζόμενον· δηλοῖ δὲ τὰ ἐφεξῆς.
to-accomplish the(-thing) striven-for show and the(-things) following

12 Ἡ μὲν καὶ ᾔτει ταῦτα καὶ ἤλπιζεν, ἅτε τῇ πίστει
she indeed both asked these(-things) and hoped as by-the faith
μᾶλλον ἢ τῇ νεότητι ζέουσα. Καὶ γὰρ οὐδεὶς οὕτως
more than by-the youth boiling and for no-one so
ἐθάῤῥει τοῖς παροῦσιν, ὡς αὕτη τοῖς ἐλπισθεῖσι,
was-confident in-the(-things) present as she in-the(-things) hoped
πείρᾳ μαθοῦσα τοῦ Θεοῦ τὸ φιλόδωρον. Τῷ δὲ
by-experience having-learned — of-God the generosity to-the(-man) and
συνείργει μὲν πρὸς σωτηρίαν καὶ ὁ λογισμὸς, κατὰ μικρὸν
works-together indeed toward salvation also the reasoning by little
τὴν θεραπείαν παραδεχόμενος· συνείργει δὲ καὶ ὀνειράτων
the healing admitting works-together and also of-dreams
ὄψις, οἷς εὐεργετεῖ πολλάκις Θεὸς ψυχὴν ἀξίαν τοῦ
(a)-vision with-which benefits often God (a)-soul worthy of-the
σώζεσθαι. Ἀλλὰ τίς ἡ ὄψις; Ἐνταῦθά μοι καὶ τὸ
to-be-saved but what (was)-the vision here to-me also the(-part)
τοῦ διηγήματος ἥδιστον· Ἔδοξεν, ὃ μήπω πρότερον,
of-the story sweetest he-seemed what not-yet before
καίτοι πολλάκις τῆς γυναικὸς ἱκετευούσης καὶ δεομένης,
although often the wife entreating and begging
ψάλλειν ἐκ τῶν τοῦ θείου Δαβὶδ ἐκεῖνο τὸ μέρος·
to-sing from the(-songs) of-the divine David that the part
Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον Κυρίου
I-was-glad in the(-ones) having-said to-me into (the)-house of-(the)-Lord
πορευσόμεθα. Καὶ ἡ ψαλμῳδία ξένη, καὶ ὁ πόθος τῇ
we-will-go and the psalmody (was)-strange and the longing with-the
ᾠδῇ συνεισέρχεται. Καὶ ὡς ἤκουσεν ἡ τῆς εὐχῆς
song comes-in-with and when heard the(-woman) of-the prayer

ἐπιτυχοῦσα, τὸν καιρὸν ἁρπάζει, ὑποκριναμένη τε τὴν
obtaining the moment she-seizes interpreting both the
ὄψιν πρὸς τὸ ἥδιστον μετὰ τῆς ἀληθείας, καὶ τῇ χαρᾷ
vision to the sweetest with the truth and by-the joy
δηλοῦσα τῆς εὐεργεσίας τὸ μέγεθος, καὶ τὴν σωτηρίαν
showing of-the benefit the greatness and the salvation
ἐπιταχύνουσα, μή τι παρεμπεσὸν ἐμποδίσῃ τῇ κλήσει,
hastening lest something falling-in should-hinder the calling
καὶ λύσῃ τὸ σπουδαζόμενον. Καὶ δὴ συμβὰν
and undo the(-thing) striven-for and indeed (it-having)-happened
τηνικαῦτα πλείους ἀρχιερεῖς ἐπὶ τὴν Νικαίαν σπεύδειν,
at-that-time (that)-several bishops to — Nicaea hastened
ἵνα κατὰ τῆς Ἀρείου στῶσι μανίας, ἄρτι τοῦ κακοῦ
so-that against the of-Arius they-might-stand madness just the evil
φυομένου, καὶ τὴν θεότητα τέμνοντος, δίδωσι μὲν ἑαυτὸν
springing-up and the godhead cutting gives indeed himself
τῷ Θεῷ καὶ τοῖς κήρυξι τῆς ἀληθείας, καὶ τὸν πόθον
— to-God and to-the heralds of-the truth and the longing
ὁμολογεῖ, καὶ ζητεῖ παρ᾽ αὐτῶν τὴν κοινὴν σωτηρίαν,
confesses and seeks from them the common salvation
ὧν εἷς Λεόντιος ἦν ὁ πάνυ, ὁ τότε τῆς καθ᾽
of-whom one Leontius was the very(-famous) the(-one) then of-the in
ἡμᾶς μητροπόλεως ἐξηγούμενος. Ὃ δὲ κἀνταῦθα παρὰ
our(-region) metropolis leading what but even-here from
τῆς χάριτος ἀπήντησε θαῦμα, σφόδρα ἂν ἀδικοίην τὴν
the grace met(-him) (a)-wonder greatly — I-would-wrong the
χάριν, εἰ σιωπῇ παρέλθοιμι· μάρτυρες δὲ οὐκ ὀλίγοι τοῦ
grace if in-silence I-should-pass-over(-it) witnesses and not few of-the
θαύματος· Πλανῶνταί τινα πλάνην πνευματικὴν οἱ τῆς
wonder err some (an)-error spiritual the(-ones) of-the
ἀκριβείας διδάσκαλοι, καὶ προτυποῖ τὸ μέλλον ἡ χάρις,
exactness teachers and prefigures the future the grace

καὶ τύπος ἱερωσύνης τῇ κατηχήσει μίγνυται. Ὦ τῆς
and (a)-pattern of-priesthood with-the catechizing is-mingled O the
ἀκουσίου μυήσεως! Ἐπὶ γὰρ γόνυ κλιθεὶς, οὕτω τοῖς λόγοις
involuntary initiation upon for (the)-knee bent so by-the words
τῆς κατηχήσεως καταρτίζεται, ὥστε πολλοὺς τῶν
of-the catechizing he-is-fitted that many of-the(-ones)
παρόντων προφητεῦσαι τὸ μέλλον, οὐ τῶν ὑψηλοτέρων
present prophesied the future not of-the higher
μόνον, ἀλλὰ καὶ τῶν ταπεινοτέρων εἰς σύνεσιν, οὐκ
only but also of-the lower in understanding not
ἀμυδροῖς σημείοις πιστωθέντας πρὸς τὸ ἐσόμενον.
by-dim signs assured toward the(-thing) about-to-be
13 Μικρὸν τὸ ἐν μέσῳ, καὶ τῷ θαύματι θαῦμα
small (was)-the(-time) in between and to-the wonder (a)-wonder
συνάπτεται· παραθήσομαι δὲ πιστῶν ἀκοαῖς τὸν λόγον·
is-joined I-will-set-before and of-faithful(-men) ears the account
ψυχαῖς γὰρ βεβήλοις οὐδὲν τῶν καλῶν ἀξιόπιστον.
to-souls for profane nothing of-the fine(-things) (is)-credible
Πρόσεισι μὲν τῇ δι' ὕδατος ἀναγεννήσει καὶ Πνεύματος,
he-approaches indeed to-the through water regeneration and Spirit
δι' ἧς ὁμολογοῦμεν Θεῷ τὴν τοῦ κατὰ Χριστὸν
through which we-confess to-God the of-the according-to Christ
ἀνθρώπου μόρφωσίν τε καὶ τελείωσιν, καὶ τοῦ χοϊκοῦ
man forming both and perfecting and of-the earthy
πρὸς τὸ πνεῦμα μετάθεσιν καὶ ἀνάπλασιν· καὶ πρόσεισι
to the spirit transfer and refashioning and he-approaches
μετὰ θερμῆς τῆς ἐπιθυμίας, καὶ λαμπρᾶς τῆς ἐλπίδος,
with warm the desire and bright the hope
τῷ λουτρῷ προκαθήρας ἑαυτὸν εἰς δύναμιν, καὶ
for-the bath having-purified-beforehand himself to (his)-power both
ψυχῇ καὶ σώματι καθαγνίσας πολλῷ μᾶλλον, ἢ
in-soul and in-body having-sanctified(-himself) by-much more than

οἱ τὰς πλάκας παρὰ Μωϋσέως δέξασθαι μέλλοντες.
the(-ones) the tablets from Moses to-receive about-to
Τοῖς μὲν γὰρ μέχρις ἐσθῆτος ὁ ἁγνισμὸς, καὶ
to-them indeed for up-to clothing (was)-the purification and
γαστρὸς μικρὰ στένωσις, καὶ σωφροσύνη τις σχέδιος·
of-the-belly small restraint and temperance some makeshift
τῷ δὲ πᾶς ὁ ἐν μέσῳ βίος παρασκευὴ τῆς ἐλλάμψεως
for-him but all the in between life (a)-preparation for-the illumination
ἦν, καὶ πρὸ τῆς καθάρσεως κάθαρσις ἀσφαλιζομένη τὴν
was and before the cleansing (a)-cleansing securing the
δωρεὰν, ἵνα ἡ τελειότης τῇ καθαρότητι πιστευθῇ,
gift so-that the perfection to-the purity might-be-entrusted
καὶ μὴ κινδυνεύσῃ τὸ ἀγαθὸν ἐν ἕξει τολμώσῃ μετὰ
and not might-be-endangered the good in (a)-habit daring with
τῆς χάριτος. Ἐξελθόντα δὲ αὐτὸν ἐκ τοῦ ὕδατος,
the grace (as)-having-come-out and him from the water
φῶς περιαστράπτει καὶ δόξα τῆς διαθέσεως ἀξία, μεθ'
(a)-light shines-around and (a)-glory of-the disposition worthy with
ἧς προσῆλθε τῷ χαρίσματι τῆς πίστεως· ἔστι μὲν
which he-approached to-the gift of-the faith it-is indeed
οἷς καὶ τῶν ἄλλων ἐπίδηλος, οἳ τότε μὲν σιωπῇ τὸ
to-some even of-the others manifest who then indeed in-silence the
θαῦμα κατέσχον, ἐξειπεῖν οὐ θαῤῥήσαντες (καὶ γὰρ αὐτοῦ
wonder kept to-speak-out not daring and for of-himself
μόνου ταύτην εἶναι τὴν ὄψιν ἕκαστος ᾤετο), μικρὸν δὲ
alone this to-be the vision each thought (a)-little but
ὕστερον ἀλλήλοις διέδωκαν· τῷ δὲ βαπτιστῇ καὶ τελειωτῇ
later to-one-another passed(-it)-on to-the but baptizer and perfecter
τοσοῦτον ἐναργής τε καὶ γνώριμος, ὥστε μηδὲ κατασχεῖν
so-much clear both and known that not-even to-keep-in

δυνηθῆναι τὸ μυστήριον, ἀλλὰ καὶ δημοσίᾳ ῥῆξαι
to-be-able the mystery but even publicly to-break-forth
φωνὴν, ὅτι τὸν ἑαυτοῦ διάδοχον τῷ πνεύματι χρίσειεν.
(in)-voice that the his-own successor in-the spirit he-would-anoint
14 Καὶ τοῦτο οὐδεὶς ἀπιστήσειε τῶν ἀκηκοότων τε καὶ
and this no-one would-disbelieve of-the(-ones) having-heard both and
γιγνωσκόντων, ὅτι Μωϋσῆς μὲν ἔτι μικρὸς ὢν τοῖς
knowing that Moses indeed still small being to-the
πολλοῖς, καὶ οὔπω λόγου τινὸς ἀξιούμενος, ἐκ τῆς βάτου
many and not-yet of-account any deemed-worthy from the bush
καλεῖται, καιομένης μὲν, οὐκ ἀναλισκομένης δὲ, μᾶλλον
is-called burning indeed not consumed but rather
δὲ τοῦ ἐν τῇ βάτῳ φανταζομένου, καὶ πιστοῦται τῷ
but of-the(-one) in the bush appearing and is-confirmed by-the
πρώτῳ θαύματι· Μωϋσῆς ἐκεῖνος, ᾧ θάλασσα τέμνεται,
first wonder Moses that(-one) for-whom (the)-sea is-cut
καὶ ἄρτος ὕεται, καὶ πέτρα πηγάζει, καὶ στύλος πυρὸς
and bread rains and (a)-rock gushes and (a)-pillar of-fire
καὶ νεφέλης ὁδηγοῦσι, μετ' ἀλλήλων ἱστάμενοι, καὶ χειρῶν
and of-cloud guide with one-another standing and of-hands
ἔκτασις τρόπαιον ἵστησι, καὶ νικᾷ πολλὰς μυριάδας, τὸν
(the)-stretching (a)-trophy sets-up and conquers many myriads the
σταυρὸν σχηματίζουσα. Ἡσαΐας δὲ, ὁ τῆς δόξης καὶ
cross figuring Isaiah and the(-one) of-the glory and
τῶν σεραφὶμ θεατὴς, καὶ μετ' ἐκεῖνον Ἱερεμίας, ὁ τὴν
of-the seraphim beholder and after him Jeremiah the(-one) the
μεγάλην κατ' ἐθνῶν καὶ βασιλέων πιστευθεὶς δύναμιν· ὁ
great over nations and kings entrusted(-with) power the(-one)
μὲν ἀκούει θείας φωνῆς, καὶ τῆς προφητείας τῷ ἄνθρακι
indeed hears (a)-divine voice and for-the prophecy by-the coal
προκαθαίρεται· ὁ δὲ πρὸ τῆς διαπλάσεως γιγνώσκεται,
is-cleansed-beforehand the(-other) and before the forming is-known

καὶ πρὸ γεννήσεως ἁγιάζεται. Παῦλος δὲ διώκτης ὢν
and before birth is-sanctified Paul and (a)-persecutor being
ἔτι, ὁ μέγας τῆς ἀληθείας κῆρυξ, ὁ τῶν ἐθνῶν ἐν
still the great of-the truth herald the(-one) of-the nations in
πίστει διδάσκαλος, καὶ φωτὶ περιλάμπεται, καὶ γνωρίζει
faith teacher both by-light is-shone-around and recognizes
τὸν διωκόμενον, καὶ τὴν μεγάλην διακονίαν πιστεύεται,
the(-one) persecuted and the great ministry is-entrusted(-with)
καὶ πληροῖ τοῦ Εὐαγγελίου πᾶσαν ἀκοὴν καὶ διάνοιαν.
and fills of-the Gospel every ear and mind
Τί δεῖ πάντας ἀπαριθμεῖσθαι τοὺς ὑπὸ Θεοῦ 15
why must-one all count-up the(-ones) by God
προσκληθέντας, καὶ τοιούτοις οἰκειωθέντας θαύμασιν, οἷς
called and to-such made-familiar wonders by-which
κἀκεῖνος ἐβεβαιώθη πρὸς τὴν εὐσέβειαν; Καὶ οὐ τὰ μὲν
he-too was-confirmed toward the piety and not the(-things) indeed
πρῶτα τοιαῦτα, καὶ οὕτως ἄπιστα καὶ παράδοξα, κατήσχυνε
first (were)-such and so incredible and paradoxical put-to-shame
δέ τι τῶν προϋπηργμένων τοῖς ὕστερον, ὡς ἄν τις
but something of-the(-things) preexisting by-the later(-things) as — one
τῶν τάχιστα κόρον τοῦ καλοῦ λαμβανόντων, εἶτα τοῦ
of-the(-ones) very-quickly surfeit of-the good taking then of-the
πρόσω καταφρονούντων, ἢ καὶ παντάπασι πρὸς κακίαν
forward(-path) despising or even altogether toward vice
παλινδρομούντων· οὐκ ἔστι τοῦτο εἰπεῖν· ἀλλὰ καὶ λίαν
running-back not it-is this to-say but even very
ἑαυτοῦ καὶ τῶν προειληφότων ἔχεται, ὥστε ἀμφότερα
himself and of-the(-things) gained-before holds-to so-that both
συναρμόζειν ἀλλήλοις, τά τε πρὸ τῆς ἱερωσύνης τοῖς
to-fit one-another the(-things) both before the priesthood to-the
ἐκείνης καλοῖς, καὶ τὰ μετ' αὐτὴν τοῖς πρότερον·
of-it fine(-things) and the(-things) after it to-the(-things) earlier

καὶ μήτε ἄλλως ἄρξασθαι πρέπειν ἢ ὡς ἐτελεύτησε, μήτε εἰς
and neither otherwise to-have-begun to-befit than as he-ended nor to
ἄλλο προελθεῖν τέλος ἢ οὗ προήρξατο. Πιστεύεται
another to-have-advanced end than from-which he-began he-is-entrusted(-with)
μέν γε τὴν ἱερωσύνην, οὐ κατὰ τὴν νῦν εὐκολίαν καὶ
indeed at-least the priesthood not according-to the now easiness and
ἀταξίαν, ἀλλὰ μικρόν τι διαλιπὼν, ὥστε τῇ καθάρσει
disorder but (a)-little some having-waited so-that to-the cleansing
προστεθῆναι καὶ τὴν τοῦ καθαίρειν ἐμπειρίαν καὶ δύναμιν,
might-be-added also the of-the to-cleanse experience and power
ὅπερ δὴ νόμος ἀκολουθίας πνευματικῆς. Ἐπεὶ δὲ
which-very-thing indeed (is-the)-law of-sequence spiritual when and
πιστεύεται, πλέον ἡ χάρις δοξάζεται, ὥσπερ ὄντως Θεοῦ
he-is-entrusted more the grace is-glorified as truly of-God
χάρις, ἀλλ᾽ οὐκ ἀνθρώπων, οὐδὲ, ὅ φησιν ὁ Ἐκκλησιαστὴς,
grace but not of-men nor as says the Preacher
ὁρμή τις αὐτόνομος, καὶ προαίρεσις πνεύματος.
(a)-rush some self-willed and (a)-choice of-wind
16 Παραλαβὼν γὰρ τὴν Ἐκκλησίαν ὑλώδη καὶ ἀπηγροικισμένην,
having-received for the Church rustic and boorish
οὐ πόῤῥωθεν μὲν ἐπισκοπῇ ποιμανθεῖσαν, ἀλλ᾽ ὅσον ἑνὶ
not from-afar indeed by-episcopate shepherded but as-much-as by-one
τῶν πρὸ αὐτοῦ κοσμηθῆναι, καὶ τούτῳ θαυμασίῳ μὲν καὶ
of-the(-men) before him to-be-adorned and by-him wonderful indeed and
ἀγγελικῷ τὸν τρόπον, ἁπλουστέρῳ δὲ ἢ κατὰ τοὺς νῦν
angelic in-the manner simpler but than according-to the present
τῶν λαῶν προστάτας· τούτου δὲ τάχιστα προσληφθέντος,
of-the peoples leaders this and very-quickly having-been-taken-up
ἐπιπολὺ πάλιν ῥᾳθυμηθεῖσάν τε καὶ χερσομανήσασαν ἐξ
for-long again neglected both and run-wild from
ἀναρχίας· πρῶτον μὲν τὰ ἤθη τῶν ἀνθρώπων οὐ χαλεπῶς
anarchy first indeed the characters of-the men not with-difficulty

ἐξημέρωσε λόγοις τε ποιμαντικῆς ἐπιστήμης, καὶ τῷ
he-tamed by-words both of-pastoral knowledge and by-the
προθεῖναι τύπον ἑαυτὸν, ὥσπερ ἀνδριάντα πνευματικὸν,
to-set-forth (as-a)-pattern himself like (a)-statue spiritual
εἰς κάλλος ἀπεξεσμένον πάσης ἀρίστης πράξεως. Ἔπειτα
to beauty polished of-all best action then
τοῖς θείοις λόγοις συντόνως ἐμμελετήσας, καίπερ
in-the divine words intensely having-exercised(-himself) although
ὀψιμαθὴς τῶν τοιούτων τυγχάνων, τοσαύτην ἐντὸς ὀλίγου
late-learning of-the such(-things) being so-much within little
χρόνου σοφίαν συνελέξατο, ὥστε τά τε ἄλλα μηδενὸς
time wisdom he-gathered that (in)-the both other(-things) to-none
λείπεσθαι τῶν ἐπὶ πλεῖστον πεπονηκότων, καὶ χάριν
to-be-inferior of-the(-ones) for most having-labored and grace
ἐκ Θεοῦ ταύτην λαβεῖν ἐξαίρετον, ὀρθοδοξίας γενέσθαι
from God this to-receive special of-orthodoxy to-become
πατὴρ καὶ διδάσκαλος· οὐ κατὰ τοὺς νῦν σοφοὺς τοῖς
father and teacher not according-to the present wise(-men) to-the
καιροῖς συγκλινόμενος, οὐδὲ μέσως καὶ τεχνικῶς τοῦ
times bending nor moderately and artfully over-the
καθ' ἡμᾶς λόγου προϊστάμενος, ὡς ἂν οἱ μὴ πῆξιν
in our(-time) doctrine presiding as — the(-ones) not firmness
ἔχοντες πίστεως, ἢ καπηλεύοντες τὴν ἀλήθειαν· ἀλλ' ἦν
having of-faith or peddling the truth but he-was
τῶν μὲν λόγῳ δυνατῶν εὐσεβέστερος, τῶν
than-the(-ones) indeed in-word powerful more-pious than-the(-ones)
ὀρθῶν δὲ τὴν διάνοιαν λογικώτερος· μᾶλλον δὲ λόγου τὰ
right and in-the mind more-reasonable rather but of-word the
δεύτερα φέρων, εὐσεβείᾳ πάντων ἐκράτει. Ἕνα μὲν Θεὸν
second(-place) bearing in-piety all he-surpassed one indeed God
εἰδὼς ἐν Τριάδι προσκυνούμενον, τρία δὲ εἰς μίαν
knowing in Trinity worshiped three(-persons) and into one

θεότητα συναγόμενα· καὶ οὔτε τῷ ἑνὶ Σαβελλίζων, οὔτε
godhead gathered and neither in-the one Sabellianizing nor
τοῖς τρισὶν Ἀρειανίζων, ἢ τῷ συστέλλειν θεότητα καὶ
in-the three Arianizing either by-the to-contract (the)-godhead and
ἀναλύειν ἀθέως, ἢ τῷ κατατέμνειν ἀνίσοις ἀλλοτριότησιν,
to-dissolve(-it) godlessly or by-the to-cut-up(-it) by-unequal estrangements
ἢ μεγέθους, ἢ φύσεως. Οὗ γὰρ ἕκαστον ἀκατάληπτον
either of-greatness or of-nature of-which for each (is)-incomprehensible
καὶ ὑπὲρ τὴν ἡμετέραν ἐπίνοιαν, πῶς ἐνταῦθα τὸ ὑπεραῖρον
and above the our conception how here the surpassing
ἢ νοηθήσεται, ἢ δογματισθήσεται; Ποῦ δὲ μετρεῖται
either will-be-conceived or will-be-dogmatized where and is-measured
τὸ ἄπειρον, ἵν', ὃ τῶν περατουμένων ἐστὶ,
the infinite so-that what (belongs)-to-the(-things) bounded is
τοῦτο πάθῃ θεότης, βαθμοῖς μετρουμένη καὶ ὑποβάσεσιν;
this may-suffer (the)-godhead by-steps measured and descents

THE BISHOP'S CHARACTER

Gregory compares his father's church to a new Jerusalem and an ark upon the waters. When the church split over a document he was led to sign in simplicity, he alone was thought to have kept his mind whole, and he healed the division. Open-handed, he left most of the giving to his wife; he was humble, simple, and forgiving, and those who wronged him met swift chastening. Gravely ill at Easter, he rose in the night, celebrated the liturgy, and recovered. Gregory's mother was healed in a vision, and Gregory was saved from a storm at sea through his parents' prayers.

17 Ταῦτα ἐννοῶν ὁ μέγας ἐκεῖνος ἄνθρωπος τοῦ Θεοῦ,
these(-things) considering the great that man — of-God
καὶ ἀληθῶς Θεολόγος, καὶ μετὰ τοῦ Πνεύματος περὶ
and truly (a)-Theologian and with the Spirit about

τούτων κινούμενος, τί χρὴ λέγειν ἕτερον, ἢ ὅτι νέαν
these(-things) moved what must-one say other than that (a)-new
Ἱερουσαλὴμ καὶ κιβωτὸν ἄλλην ὑπὲρ ὑδάτων φερομένην,
Jerusalem and (an)-ark other upon waters borne
ὥσπερ ὁ μέγας ἐκεῖνος Νῶε, καὶ τοῦ δευτέρου τούτου
like the great that Noah and of-the second this
κόσμου πατὴρ, τήνδε τὴν Ἐκκλησίαν καλεῖσθαι πεποίηκε·
world father this the Church to-be-called he-has-made
τοῦτό τε κατακλυσμοῦ τῶν ψυχῶν, καὶ τῆς τῶν αἱρετικῶν
this both (the)-flood of-the souls and the of-the heretics
ἐπηρείας σαφῶς ὑπεραίρουσαν· καὶ ὅσῳ πλήθει τῶν
outrage clearly surmounting and by-as-much-as in-number than-the
ἄλλων ἐλείπετο, τοσοῦτον εὐδοξίᾳ κρατοῦσαν· καὶ
others it-was-left-behind so-much in-good-repute prevailing and
τὸ τῆς ἱερᾶς πάσχουσαν Βηθλεὲμ, ἣν οὐδὲν ἐκώλυσε
the(-thing) of-the holy experiencing Bethlehem which nothing prevented
καὶ μικρὰν εἶναι πόλιν, καὶ τῆς οἰκουμένης μητρόπολιν,
both small to-be (a)-city and of-the world (the)-metropolis
ὡς Χριστοῦ καὶ τροφὸν καὶ μητέρα, τοῦ τὸν κόσμον
as of-Christ both nurse and mother the(-one) the world
καὶ ποιήσαντος καὶ νικήσαντος;
both having-made and having-conquered
Τεκμήριον δὲ τοῦ λόγου· Καὶ γὰρ ἡνίκα παρὰ τοῦ 18
(a)-proof and of-the word and for when by the
θερμοτέρου μέρους τῆς Ἐκκλησίας κατεστασιάσθημεν,
hotter part of-the Church we-were-rent-by-faction
γράμματι κλαπέντες καὶ ῥήμασι τεχνικοῖς εἰς πονηρὰν
by-(a)-document having-been-beguiled and by-words artful into (a)-wicked
κοινωνίαν, μόνος μὲν ἐπιστεύθη τὴν διάνοιαν ἄτρωτον
communion alone indeed he-was-believed the mind unwounded
ἔχειν, καὶ μὴ τῷ μέλανι τὴν ψυχὴν συμμελαίνεσθαι, εἰ καὶ
to-have and not by-the ink the soul to-be-blackened-with(-it) if even

ἁπλότητι συνηρπάσθη, καὶ τὸν δόλον ἐκ τοῦ τῆς ψυχῆς
by-simplicity he-was-carried-off and the guile from the of-the soul
ἀδόλου μὴ ἐφυλάξατο· μόνος δὲ, μᾶλλον δὲ πρῶτος, τὸ
guilelessness not he-guarded-against alone and rather but first the(-party)
στασιάζον πρὸς ἡμᾶς, ζήλῳ τῆς εὐσεβείας ἑαυτῷ τε καὶ τοῖς
rebelling against us by-zeal of-the piety to-himself both and to-the
ἄλλοις κατήλλαξε, τελευταῖόν τ' ἀποδραμὸν, καὶ πρῶτον
others he-reconciled last both having-run-away and first
προσδραμὸν, αἰδοῖ τε τοῦ ἀνδρὸς, καὶ τῇ τοῦ δόγματος
having-run-back by-reverence both for-the man and by-the of-the doctrine
καθαρότητι· ὥστε καὶ τὸν πολὺν σάλον τῶν Ἐκκλησιῶν
purity so-that both the great tossing of-the Churches
κατασβεσθῆναι, καὶ στῆναι τὴν καταιγίδα εἰς αὔραν, ταῖς
to-be-quenched and to-settle the storm into (a)-breeze by-the
ἐκείνου λυθεῖσαν εὐχαῖς τε καὶ παραινέσεσιν, εἴ τι δεῖ
his dissolved prayers both and exhortations if anything one-must
καὶ νεανιεύσασθαι, μεθ' ἡμῶν κοινωνῶν καὶ τῆς εὐσεβείας,
also to-speak-boldly with us sharing both the piety
καὶ τῆς ἐνεργείας· οἳ πρὸς πᾶν ἀγαθὸν αὐτῷ συναιρόμενοι,
and the activity who toward every good with-him taking-part
καὶ οἷον παρομαρτοῦντες καὶ παραθέοντες, ἐνταῦθα πλεῖστον
and as-if attending and running-alongside here (the)-greatest
μέρος συνεισενεγκεῖν ἠξιώθημεν. Ἀλλ' ὁ μὲν περὶ
part to-contribute we-were-deemed-worthy but the indeed about
τούτων λόγος, μικρόν τι προεκδραμὼν, ἐνταῦθα μεινάτω.
these(-things) account (a)-little some having-run-ahead here let-it-stop

19 Τίς δ' ἂν τῶν ἐκείνου καλῶν ἢ τὸ πλῆθος
who but — of-the his fine(-things) either the multitude
ἐξαριθμήσαιτο, ἢ τὰ πλείω παραδραμεῖν ἐθέλων, μὴ
could-count-up or the more(-things) to-pass-over wishing not
χαλεπῶς εὕροι τὸ παρετέον; Ἀεὶ γὰρ τὸ τὴν
with-difficulty would-find the(-thing) to-be-passed-over always for the the

διάνοιαν ἐπεισιὸν, κρεῖττον τῶν προειληφότων
mind entering better than-the(-things) seized-before
φαίνεται· καὶ μετὰ τούτου γίνομαι· καὶ πλεῖον ἐμοὶ
appears and with this I-am and greater for-me
τοῦ τί χρὴ παραλιπεῖν, ἢ τοῖς ἄλλοις ἐπαινέταις
(is)-the(-question) what must (be)-left-out than for-the other praisers
τοῦ τί χρὴ λέγειν ἡ ἀπορία· ὥστε μοι τρόπον
the(-question) what must (be)-said the perplexity so-that for-me in-(a)-manner
τινὰ ζημίαν γίνεσθαι τὴν περιουσίαν, καὶ δοκιμάζεσθαι
some (a)-loss becomes the abundance and is-tested
τὴν διάνοιαν, τὰ ἐκείνου δοκιμάζειν ἐπιχειροῦσαν, καὶ οὐκ
the mind the his(-things) to-test attempting and not
ἔχουσαν τὸ νικοῦν εὑρεῖν τοῖς ὁμοτίμοις. Ὅπερ
having the(-thing) prevailing to-find among-the equally-honored(-things) what
γὰρ ἐπὶ τῶν σταθερῶν ὑδάτων ὁρῶμεν συμβαῖνον,
for in-the-case-of the still waters we-see happening
ὅταν ψηφὶς ἐμπεσοῦσα κέντρον γένηται, ἄλλος ἐπ' ἄλλῳ
when (a)-pebble falling-in (a)-center becomes other upon other
κύκλος ἐγειρόμενος καὶ συνεχῶς ἐπιφρίσσων ἀεὶ λύει
circle rising and continually rippling always dissolves
τὸν ἔξωθεν· τοῦτο καὶ αὐτῷ μοι συμβέβηκεν ἄντικρυς.
the outer(-one) this also to-me myself has-happened exactly
Τὸ μὲν ἐπὶ νοῦν ἦλθε, τὸ δὲ ἐπεισῆλθε, τὸ
the(-one) indeed to mind came the(-other) and came-in the(-other)
δὲ ὑπεχώρησεν· καὶ κάμνω περὶ τὴν αἵρεσιν, ἀεὶ τοῦ
and withdrew and I-labor about the choice always the(-thing)
προκαταλαβόντος ὑπεξισταμένου τῷ ἐπεισρέοντι.
seized-before giving-way to-the(-thing) flowing-in
Τίς μὲν γὰρ ἐκείνου περὶ τὰ κοινὰ σπουδαιότερος; 20
who indeed for than-him about the common(-affairs) more-zealous
τίς δὲ τὰ οἴκοι φιλοσοφώτερος, ἐπειδὴ καὶ οἶκον
who and (in)-the(-things) at-home more-philosophical since also (a)-house

ἐμέρισεν αὐτῷ, καὶ κτῆσιν σύμμετρον, ὁ πάντα καλῶς
allotted to-him and property moderate the(-one) all(-things) well
καὶ ποικίλως οἰκονομῶν Θεός; Τίς δὲ πένησι, τῷ ἀτιμωτάτῳ
and variously dispensing God who and to-the-poor the most-dishonored
μέρει τῆς ὁμοτίμου φύσεως, ἢ τὴν ψυχὴν συμπαθέστερος,
part of-the equal-in-honor nature either in-the soul more-sympathetic
ἢ τὴν χεῖρα δαψιλέστερος; τῷ ὄντι γὰρ ὡς οἰκονόμος
or in-the hand more-bountiful in-the reality for as (a)-steward
ἀλλοτρίων διενοεῖτο περὶ τῶν ἰδίων, ἐπικουφίζων τὴν
of-others'(-goods) he-thought about the(-things) his-own relieving the
πενίαν εἰς δύναμιν, καὶ δαπανώμενος, οὐ τοῖς περιττοῖς
poverty to (his)-power and spending not from-the superfluous(-things)
μόνον, ἀλλὰ δὴ καὶ τοῖς ἀναγκαίοις, ἥπερ δὴ
only but indeed even from-the necessary(-things) which-very-thing indeed
σαφεστάτη φιλοπτωχίας ἀπόδειξις, καὶ διδοὺς μερίδα,
(is-the)-clearest of-love-of-the-poor proof and giving (a)-portion
οὐ τοῖς ἑπτὰ μόνον, κατὰ τὴν τοῦ Σολομῶντος
not to-the seven only according-to the — of-Solomon
νομοθεσίαν, ἀλλ' εἰ προσέλθοι καὶ ὄγδοος, μηδὲ ἐνταῦθα
legislation but if should-come also (an)-eighth not-even here
μικρολογούμενος, ἀλλ' ἥδιον ἀποκτώμενος, ἢ κτωμένους
being-petty but more-gladly getting-rid-of(-it) than acquiring(-it)
ἄλλους γινώσκομεν· ἀναιρῶν σύνδεσμον καὶ χειροτονίαν
others we-know removing (the)-band and (the)-pointing-of-the-hand
(ὅπερ ἐμοὶ δύναται μικρολογίαν καὶ δοκιμασίαν τοῦ
which to-me can-mean pettiness and scrutiny of-the(-one)
ληψομένου, ὅστις τε ἄξιος, καὶ ὅστις οὔ), καὶ ῥῆμα
about-to-receive who both (is)-worthy and who not and (a)-word
γογγυσμοῦ μετὰ τῆς ἐπιδόσεως. Ὅπερ πάσχουσιν οἱ
of-grumbling with the giving which-very-thing suffer the
πολλοὶ, διδόντες μὲν, τὸ δὲ προθύμως οὐ προστιθέντες·
many giving indeed the but eagerly not adding

ὃ τοῦ παρέχειν μεῖζόν ἐστι καὶ τελεώτερον. Πολλῷ
which than-the to-provide greater is and more-perfect by-much
γὰρ βέλτιον εἶναι διὰ τοὺς ἀξίους ὀρέγειν καὶ τοῖς
for better (it-is)-to-be for-the-sake-of the worthy to-hold-out also to-the
ἀναξίοις, ἢ τοὺς ἀξίους ἀποστερεῖν δέει τῶν ἀναξίων.
unworthy than the worthy to-deprive for-fear of-the unworthy
Καὶ τοῦτο εἶναι φαίνεται, τὸ χρῆναι πέμπειν τὸν
and this to-be appears the(-meaning) must to-send the
ἄρτον ἑαυτοῦ καὶ καθ' ὕδατος, ὡς οὐ παρασυρησόμενον,
bread one's-own even upon water as not about-to-be-swept-away
οὐδὲ ἀπολούμενον τῷ δικαίῳ τούτων ἐξεταστῇ, ἀλλ'
nor about-to-be-lost to-the just of-these examiner but
ἐνταῦθα καταντήσοντα, οὗ πάντα κείσεται τὰ ἡμέτερα, καὶ
there about-to-arrive where all will-lie the our(-things) and
ἀπαντήσονται ἐν καιρῷ, κἂν ἡμεῖς μὴ τοῦτο νομίζωμεν.
they-will-meet(-us) in (due)-time even-if we not this think
Τὸ δὲ κάλλιστόν τε καὶ μέγιστον, ὅτι τῷ μεγαλοψύχῳ 21
the but finest both and greatest (is)-that to-the magnanimity
προσῆν καὶ τὸ ἀφιλότιμον. Ὅσον δὲ καὶ οἷον,
was-joined also the freedom-from-ambition how-great but and what-kind
δηλώσων ἔρχομαι· Τὰ μὲν γὰρ χρήματα κοινὰ, καὶ
to-show I-come the indeed for money (was)-common and
ἡ προθυμία τοῦ παρέχειν, αὐτῷ τε καὶ τῇ ὁμοζύγῳ
the eagerness of-the to-provide to-him both and to-the yoke-fellow
πρὸς τὸ κάλλιστον ἁμιλλωμένοις· τῆς ἐπιδόσεως δὲ τὸ
for the finest vying of-the giving but the
πλεῖστον τῇ ἐκείνης χειρὶ παρῆκεν, ὡς ἀρίστης οἰκονόμου
most to-the her hand be-left as (of-the)-best steward
τῶν τοιούτων καὶ πιστοτάτης. Τίνος δὴ γυναικὸς λέγω,
παράδοξον εἰπεῖν, εἰς τὴν πίστιν ἐντεῦθεν ἐβεβαιώθημεν,
paradoxical say in the faith from-there we-were-confirmed
καταμαθόντες αὐτῶν τὸ ἀπατηλὸν καὶ κίβδηλον, ἐνταῦθα
having-learned their the deceitfulness and counterfeit here
δαιμόνων καταφρονήσαντες, οὗ θαυμάζονται δαίμονες.
demons despising where are-admired demons
Καὶ εἴ τίς ἐστιν, ἢ πιστεύεται ποταμὸς, δι᾽ ἅλμης ῥέων
and if any is or is-believed (a)-river through brine flowing
γλυκὺς, ἢ ζῶον ἐν πυρὶ σκαῖρον, ᾧ τὰ πάντα
sweet or (an)-animal in fire leaping by-which the all(-things)
ἁλίσκεται, τοῦτο ἦμεν ἡμεῖς ἐν πᾶσι τοῖς ἥλιξι.
are-consumed this were we among all the peers
22 Καὶ τὸ κάλλιστον, ὅτι καὶ φρατρία τις περὶ ἡμᾶς οὐκ
and the finest(-thing) (is)-that also (a)-brotherhood some about us not
ἀγεννὴς ἦν, ὑπ᾽ ἐκείνῳ καθηγεμόνι παιδευομένη καὶ
ignoble there-was under that guide educated and
ἀγομένη, καὶ τοῖς αὐτοῖς χαίρουσα· εἰ καὶ πεζοὶ παρὰ
led and in-the same(-things) rejoicing if even (as)-foot-soldiers beside
Λύδιον ἅρμα ἐθέομεν, τὸν ἐκείνου δρόμον καὶ τρόπον· ἐξ
(a)-Lydian chariot we-ran the his course and manner from
ὧν ὑπῆρχεν ἡμῖν ἐπισήμοις μὲν εἶναι παρὰ τοῖς ἡμετέροις
which it-belonged to-us distinguished indeed to-be among the our
παιδευταῖς καὶ συμπράκτορσιν, ἐπισήμοις δὲ παρὰ τῇ
teachers and fellow-students distinguished and among the
Ἑλλάδι πάσῃ, καὶ ταύτης μάλιστα τοῖς γνωριμωτάτοις. Ἤδη
Greece all and of-this most to-the best-known already
δὲ καὶ μέχρι τῆς ὑπερορίας προήλθομεν, ὡς σαφὲς γέγονεν
and even to the foreign-lands we-advanced as clear has-become

ἐκ πλειόνων τῶν ταῦτα διηγουμένων. Παρὰ τοσούτοις
from more of-the(-ones) these(-things) relating among as-many
μὲν γὰρ οἱ ἡμέτεροι παιδευταὶ, παρ' ὅσοις Ἀθῆναι· παρὰ
indeed for the our teachers among as-many-as Athens among
τοσούτοις δὲ ἡμεῖς, παρ' ὅσοις οἱ παιδευταὶ, συνακουόμενοί
as-many and we among as-many-as the teachers heard-together
τε ἀλλήλοις καὶ συλλαλούμενοι, καὶ ξυνωρὶς οὐκ ἀνώνυμος,
both with-one-another and spoken-of-together and (a)-pair not nameless
καὶ ὄντες παρ' αὐτοῖς, καὶ ἀκούοντες. Οὐδὲν τοιοῦτον
both being among them and hearing(-so) nothing such
αὐτοῖς οἱ Ὀρέσται καὶ οἱ Πυλάδαι· οὐδὲν οἱ Μολιονίδαι,
to-them — Orestes and — Pylades nothing the Molionidae
τῆς Ὁμηρικῆς δέλτου τὸ θαῦμα, οὓς κοινωνία συμφορῶν
of-the Homeric tablet the wonder whom (a)-partnership of-misfortunes
ἐγνώρισε, καὶ τὸ καλῶς ἅρμα ἐλαύνειν, μεριζομένους
made-known and the well (the)-chariot to-drive dividing
ἐν ταυτῷ ἡνίας καὶ μάστιγας. Ἀλλὰ γὰρ ἔλαθον
in the-same reins and whips but for I-did-not-notice
ἐμαυτὸν, εἰς τοὺς ἐμοὺς ὑπαχθεὶς ἐπαίνους, ὁ μηδὲ παρ'
myself into the my led-away praises I-who not-even from
ἑτέρου ποτὲ τοῦτο δεξάμενος. Καὶ θαυμαστὸν οὐδὲν, εἰ
another ever this received and wonderful(-thing) (is)-nothing if
κἀνταῦθα τῆς ἐκείνου φιλίας τι παραπέλαυσα, ὥσπερ
even-here of-the his friendship something I-enjoyed as
ζῶντος εἰς ἀρετὴν, οὕτω μεταστάντος εἰς εὐφημίαν.
(when)-living toward virtue so (when)-departed toward praise
Ἀλλ' ἐπὶ τὴν νύσσαν ἐπαναγέσθω πάλιν ἡμῖν ὁ λόγος.
but to the turning-post let-be-led-back again for-us the discourse
Τίς μὲν οὕτω πολιὸς ἦν τὴν σύνεσιν, καὶ πρὸ τῆς 23
who indeed so gray was in-the understanding even before the
πολιᾶς; ἐπειδὴ τούτῳ καὶ Σολομῶν τὸ γῆρας ὁρίζεται. Τίς
gray-hair since by-this also Solomon the old-age defines who

δὲ οὕτως αἰδέσιμος, ἢ παλαιοῖς, ἢ νέοις, μὴ ὅτι τῶν
and so venerable either to-old or to-young not that of-the(-ones)
κατὰ τὸν αὐτὸν ἡμῖν χρόνον, ἀλλὰ καὶ τῶν πλεῖστον
in the same with-us time but also of-the(-ones) far
προειληφότων; τίς μὲν ἧττον ἐδεῖτο λόγων, διὰ τὸν
preceding(-us) who indeed less needed words because-of the
τρόπον; τίς δὲ μᾶλλον μετέσχε λόγου, καὶ μετὰ τοῦ τρόπου;
manner who and more partook of-word even with the manner
ποῖον μὲν εἶδος οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ,
what-kind indeed form not did-he-go-through of-education rather but
ποῖον οὐ μεθ' ὑπερβολῆς ὡς μόνον; Οὕτω μὲν ἅπαντα
which not with excess as alone so indeed all(-things)
διελθὼν, ὡς οὐδεὶς ἕν· οὕτω δὲ εἰς ἄκρον ἕκαστον,
having-gone-through as no-one one so and to (the)-height each
ὡς τῶν ἄλλων οὐδέν. Σπουδὴ γὰρ εὐφυΐᾳ συνέδραμεν,
as of-the others nothing zeal for with-good-nature concurred
ἐξ ὧν ἐπιστῆμαι καὶ τέχναι τὸ κράτος ἔχουσιν. Ἥκιστα
from which knowledges and arts the power have least
μὲν τάχους φύσεως διὰ τόνον δεόμενος, ἥκιστα δὲ
indeed of-quickness of-nature because-of tension needing least and
τόνου διὰ τάχος· οὕτω δ' ἀμφότερα συλλαβὼν, καὶ
of-tension because-of quickness so but both having-combined and
εἰς ἓν ἀγαγὼν, ὥστε ἄδηλον εἶναι, ποτέρῳ τούτων
into one having-brought that unclear (it-was)-to-be in-which of-these
ἐκεῖνος θαυμασιώτερος. Τίς μὲν ῥητορικὴν τοσοῦτος, τὴν
he more-admirable who indeed in-rhetoric so-great the(-art)
πυρὸς μένος πνέουσαν, εἰ καὶ τὸ ἦθος αὐτῷ μὴ κατὰ
of-fire (the)-might breathing if even the character for-him not like
ῥήτορας ἦν; τίς δὲ γραμματικὴν, ἣ γλῶσσαν ἐξελληνίζει,
orators was who and in-grammar which (the)-tongue Hellenizes
καὶ ἱστορίαν συνάγει, καὶ μέτροις ἐπιστατεῖ, καὶ νομοθετεῖ
and history gathers and over-meters presides and legislates

ποιήμασιν; τίς δὲ φιλοσοφίαν, τὴν ὄντως ὑψηλήν τε
for-poems who and in-philosophy the(-philosophy) truly lofty both
καὶ ἄνω βαίνουσαν, ὅση τε πρακτικὴ καὶ θεωρητικὴ,
and upward going as-much-as both (is)-practical and contemplative
ὅση τε περὶ τὰς λογικὰς ἀποδείξεις καὶ ἀντιθέσεις ἔχει
as-much-as and about the logical demonstrations and oppositions has
καὶ τὰ παλαίσματα, ἣν δὴ διαλεκτικὴν ὀνομάζουσιν·
and the wrestlings which indeed dialectic they-name
ὡς ῥᾷον εἶναι τοὺς λαβυρίνθους διεξελθεῖν, ἢ τὰς
so-that easier (it-was)-to-be the labyrinths to-get-through than the
ἐκείνου τῶν λόγων ἄρκυς διαφυγεῖν, εἰ τούτου δεήσειεν;
his of-the arguments nets to-escape if this it-should-be-needful
Ἀστρονομίας δὲ, καὶ γεωμετρίας, καὶ ἀριθμῶν ἀναλογίας
of-astronomy but and of-geometry and of-numbers proportion
τοσοῦτον λαβὼν, ὅσον μὴ κλονεῖσθαι τοῖς περὶ
so-much having-taken as-much-as not to-be-shaken by-the(-ones) about
ταῦτα κομψοῖς, τὸ περιττὸν διέπτυσεν ὡς ἄχρηστον
these(-things) clever the superfluous he-spat-out as useless
τοῖς εὐσεβεῖν ἐθέλουσιν· ὥστε μᾶλλον μὲν τὸ
for-the(-ones) to-be-pious wishing so-that more indeed the(-thing)
αἱρεθὲν τοῦ παρεθέντος ἐξεῖναι θαυμάζειν, μᾶλλον
chosen than-the(-thing) passed-over (it-is)-possible to-admire more
δὲ τοῦ αἱρεθέντος τὸ παρεθέν. Ἰατρικὴν μὲν
but than-the(-thing) chosen the(-thing) passed-over medicine indeed
γὰρ καὶ ἡ τοῦ σώματος ἀῤῥωστία, καὶ νοσοκομία,
for both the of-the body sickness and nursing
φιλοσοφίας καὶ φιλοπονίας οὖσαν καρπὸν, ἀναγκαίαν αὐτῷ
of-philosophy and of-industry being (the)-fruit necessary for-him
πεποιήκασιν· ὅθεν ἀρξάμενος, εἰς ἕξιν τῆς τέχνης
have-made from-which having-begun to (a)-habit of-the art
ἀφίκετο· καὶ ταύτης, οὐχ ὅση περὶ τὸ φαινόμενον ἔχει
he-arrived and of-this not as-much-as about the apparent holds

καὶ κάτω κείμενον, ἀλλ᾽ ὅσον δογματικὸν καὶ φιλόσοφον.
and below lying but as-much-as (is)-theoretical and philosophical
Ἀλλὰ τί ταῦτα, καίπερ τηλικαῦτα τυγχάνοντα,
but what (are)-these(-things) although so-great being
πρὸς τὴν ἐν τῷ ἤθει τοῦ ἀνδρὸς παίδευσιν; Λῆρος
compared-with the in the character of-the man education (a)-trifle
τοῖς τοῦ ἀνδρὸς πεπειραμένοις ὁ Μίνως ἐκεῖνος, καὶ
to-the(-ones) of-the man having-had-experience (is) Minos that and
ὁ Ῥαδάμανθυς, οὓς ἀσφοδελῶν λειμώνων καὶ Ἠλυσίων
— Rhadamanthys whom of-asphodel meadows and of-Elysian
πεδίων ἠξίωσαν Ἕλληνες, ἐν φαντασίᾳ τοῦ καθ᾽ ἡμᾶς
plains deemed-worthy (the)-Greeks in (a)-fancy of-the in our(-faith)
παραδείσου γενόμενοι, ἐκ τῶν Μωσαϊκῶν, οἶμαι, βιβλίων
paradise having-come from the Mosaic I-think books
καὶ ἡμετέρων, εἰ καὶ περὶ τὴν κλῆσίν τι διηνέχθησαν,
and ours if even about the name somewhat they-differed
ἐν ἄλλοις ὀνόμασι τοῦτο παραδηλώσαντες.
in other names this indicating
24 Εἶχε μὲν οὖν οὕτω ταῦτα, καὶ πλήρης παιδεύσεως
stood indeed then so these(-things) and full of-education
ἡ φορτὶς, ὡς γοῦν ἐφικτὸν ἀνθρωπίνῃ φύσει (τὸ
(was)-the cargo-ship as at-least (is)-attainable for-human nature the
γὰρ ἐπέκεινα Γαδείρων οὐ περατόν)· ἔδει δὲ λοιπὸν
for beyond Gades (is)-not passable (it)-needed but for-the-rest
ἐπανόδου καὶ βίου τελεωτέρου, καὶ τοῦ λαβέσθαι τῶν
of-return and of-life more-perfect and of-the to-lay-hold-of the(-things)
ἐλπιζομένων ἡμῖν καὶ συγκειμένων. Παρῆν ἡ τῆς ἐκδημίας
hoped-for by-us and agreed was-present the of-the departure
ἡμέρα, καὶ ὅσα τῆς ἐκδημίας, ἐξιτήριοι λόγοι,
day and as-much-as (belongs)-to-the departure farewell speeches
προπόμποι, ἀνακλήσεις, οἰμωγαὶ, περιπλοκαὶ, δάκρυα.
escorts recallings lamentations embraces tears

Οὐδὲν γὰρ οὕτως οὐδενὶ λυπηρὸν, ὡς τοῖς ἐκεῖσε συννόμοις
nothing for so to-anyone (is)-grievous as for-the there fellow-pasturers
Ἀθηνῶν, καὶ ἀλλήλων τέμνεσθαι. Γίνεται δὴ τότε
from-Athens and from-one-another to-be-cut happens indeed then
θεαμά τι ἐλεεινὸν καὶ ἱστορίας ἄξιον. Περιστάντες ἡμᾶς
(a)-spectacle some pitiable and of-history worthy standing-around us
ὁ τῶν ἑταίρων καὶ ἡλίκων χορὸς, ἔστι δὲ ὧν καὶ
the of-the companions and peers (a)-chorus there-were and some also
διδασκάλων, οὐδ' ἂν, εἴ τι γένοιτο, μεθήσειν ἔφασκον,
of-teachers not-even — if anything should-happen to-let-go they-said
ἀντιβολοῦντες, βιαζόμενοι, πείθοντες· τί γὰρ οὐ λέγοντες;
entreating forcing persuading what for not saying
τί δ' οὐ πράττοντες, ὧν τοὺς ἀλγοῦντας εἰκός;
what and not doing of-the(-things) (for)-the(-ones) grieving (is)-likely
Ἐνταῦθά τι κατηγορήσω μὲν ἐμαυτοῦ, κατηγορήσω
here something I-will-accuse indeed myself I-will-accuse
δὲ τῆς θείας ἐκείνης καὶ ἀλήπτου ψυχῆς, εἰ καὶ τολμηρόν.
and the divine that and blameless soul if even (it-is)-bold
Ὁ μὲν γὰρ, τὰς αἰτίας εἰπὼν τῆς περὶ τὴν ἐπάνοδον
he indeed for the causes having-told of-the for the return
φιλονεικίας, κρείττων ὤφθη τῶν κατεχόντων· καὶ
eagerness stronger was-seen than-the(-ones) holding(-him) and
βίᾳ μὲν, συνεχωρήθη δ' οὖν ὅμως τὴν ἐκδημίαν. Ἐγὼ
by-force indeed was-granted but then nevertheless the departure I
δὲ ὑπελείφθην Ἀθήνησι· τὸ μέν τι μαλακισθεὶς
but was-left-behind at-Athens the(-one) indeed somewhat having-gone-soft
(εἰρήσεται γὰρ τἀληθὲς), τὸ δέ τι προδοθεὶς
it-will-be-said for the-truth the(-other) and somewhat betrayed
παρ' ἐκείνου, πεισθέντος ἀφεῖναι μὴ ἀφιέντα, καὶ
by him persuaded to-release (one)-not releasing and
παραχωρῆσαι τοῖς ἕλκουσι. Πρᾶγμα, πρὶν γενέσθαι, μὴ
to-yield to-the(-ones) dragging (a)-thing before to-happen not

πιστευόμενον· γίνεται γὰρ ὥσπερ ἑνὸς σώματος εἰς δύο
believed happens for as of-one body into two
τομὴ, καὶ ἀμφοτέρων νέκρωσις· ἢ μόσχων συντρόφων καὶ
(a)-cutting and of-both (a)-deadening or of-calves reared-together and
ὁμοζύγων διάζευξις, γοερὸν μυκωμένων ἐπ᾽ ἀλλήλοις, καὶ οὐ
yoked-together (a)-separation mournfully lowing for one-another and not
φερόντων τὴν ἀλλοτρίωσιν. Οὐ μὴν μακρότερόν μοι τὸ
bearing the estrangement not however longer for-me the
τῆς ζημίας· οὐ γὰρ ἠνειχόμην ἐπιπλεῖον ἐλεεινὸς ὁρᾶσθαι,
of-the loss not for I-endured any-longer pitiable to-be-seen
καὶ πᾶσι λόγον ὑπέχειν τῆς διαστάσεως· ἀλλ᾽ ἐπιμείναντά
and to-all account to-give of-the separation but having-remained
με ταῖς Ἀθήναις χρόνον οὐχὶ συχνὸν, ποιεῖ τὸν Ὁμηρικὸν
me in-the Athens time not long makes the Homeric
ἵππον ὁ πόθος· καὶ τὰ δεσμὰ ῥήξας τῶν κατεχόντων,
horse the longing and the bonds having-broken of-the(-ones) holding(-me)
κροαίνω κατὰ πεδίων, καὶ πρὸς τὸν σύννομον ἐφερόμην.
I-gallop over plains and to the fellow-pasturer I-was-borne
25 Ὡς δ᾽ οὖν ἐπανήκαμεν, μικρὰ τῷ κόσμῳ καὶ τῇ
when but then we-returned (a)-little to-the world and to-the
σκηνῇ χαρισάμενοι, καὶ ὅσον τὸν τῶν πολλῶν πόθον
stage having-granted and as-much-as the of-the many longing
ἀφοσιώσασθαι (οὐ γὰρ αὐτοί γε εἴχομεν θεατρικῶς, οὐδ᾽
to-discharge not for ourselves at-least we-were theatrically nor
ἐπιδεικτικῶς), τάχιστα ἐγενόμεθα ἡμῶν αὐτῶν, καὶ τελοῦμεν
showily very-quickly we-became of-us ourselves and we-pass
εἰς ἄνδρας ἐξ ἀγενείων, ἀνδρικώτερον τῇ φιλοσοφίᾳ
into men from beardless(-youths) more-manfully to-the philosophy
προσβαίνοντες· οὐ σὺν ἀλλήλοις μὲν ἔτι (οὐ γὰρ ἀφῆκεν
advancing not with one-another indeed still not for allowed(-it)
ὁ φθόνος), τῷ πόθῳ δὲ σὺν ἀλλήλοις. Τὸν μὲν γὰρ ἡ
the envy by-the longing but with one-another him indeed for the

Καισαρέων κατέχει πόλις, ὥς τινα δεύτερον οἰκιστήν τε
of-Caesareans holds city as some second founder both
καὶ πολιοῦχον· ἔπειτα ἐκδημίαι τινὲς, ἐπειδή γε ἡμᾶς
and guardian then journeys some since at-least us
οὐκ εἶχε, τῶν ἀναγκαίων ὑπολαμβάνουσι, καὶ οὐκ ἀπὸ
not he-had of-the necessary(-kind) take(-him) and not from
σκοποῦ τῆς προκειμένης φιλοσοφίας. Ἐμὲ δὲ πατέρων
(the)-aim of-the proposed philosophy me but (of)-parents
εὐλάβεια, καὶ γηροκομία, καὶ συμφορῶν ἐπανάστασις
(the)-reverence and care-of-old-age and of-misfortunes (the)-rising-up
κατασχοῦσα, τοῦ ἀνδρὸς ἀπήγαγεν· οὐ καλῶς μὲν ἴσως,
having-held from-the man led-away not well indeed perhaps
οὐδὲ δικαίως, ἀπήγαγε δ' οὖν. Σκοπῶ δὲ, εἰ μὴ κἀντεῦθέν
nor justly it-led-away but then I-consider but if not even-from-here
μοι πᾶσα ἡ περὶ τὸν βίον ἀνωμαλία καὶ δυσκολία
to-me all the about the life irregularity and difficulty
συνέπεσε, καὶ τὸ πρὸς τὴν φιλοσοφίαν οὐκ εὔοδον, οὐδὲ
befell and the toward the philosophy not easy-going nor
τῆς ἐπιθυμίας καὶ τῆς ὑποθέσεως ἄξιον. Τὰ μὲν οὖν
of-the desire and of-the purpose worthy the(-affairs) indeed then
ἡμέτερα, ὅπη τῷ Θεῷ φίλον, ἀγέσθω· ἄγοιτο δὲ ταῖς
ours as — to-God (is)-dear let-them-be-led may-they-be-led and by-the
ἐκείνου πρεσβείαις ἄμεινον. Τὸν δὲ, ἡ πολύτροπος τοῦ
his intercessions better him but the many-sided —
Θεοῦ φιλανθρωπία, καὶ περὶ τὸ ἡμέτερον γένος οἰκονομία,
of-God love-of-man and about the our race dispensation
διὰ πολλῶν τῶν ἐν μέσῳ γνωρίσασα, καὶ ἀεὶ
through many of-the(-things) in between having-made-known and always
λαμπρότερον ἀποδείξασα, λαμπτῆρα τῆς Ἐκκλησίας
more-brilliant having-shown (as-a)-lamp of-the Church
προτίθησι περιφανῆ τε καὶ περιβόητον, τοῖς ἱεροῖς τοῦ
sets-forth conspicuous both and renowned on-the holy of-the

πρεσβυτερίου θρόνοις τέως ἐγκαταλέξασα, καὶ, διὰ μιᾶς
presbytery thrones meanwhile having-enrolled(-him) and through one
τῆς Καισαρέων πόλεως, τῇ οἰκουμένῃ πάσῃ πυρσεύουσα.
the of-Caesareans city to-the world whole beaconing
Καὶ τίνα τρόπον; Οὐ σχεδιάσασα τὸν βαθμὸν, οὐδὲ ὁμοῦ
and in-what way not having-improvised the step nor at-once
τε πλύνασα καὶ σοφίσασα, κατὰ τοὺς πολλοὺς τῶν
both having-washed and having-made-wise like the many of-the(-men)
νῦν τῆς προστασίας ἐφιεμένων· ἀλλὰ τάξει καὶ νόμῳ
now the presidency desiring but by-order and law
πνευματικῆς ἀναβάσεως, τῆς τιμῆς ἀξιώσασα.
of-spiritual ascent of-the honor having-deemed-worthy
26 Οὐκ ἐπαινῶ γὰρ ἐγὼ τὴν παρ᾽ ἡμῖν ἀταξίαν καὶ ἀκοσμίαν,
not I-praise for I the among us disorder and unseemliness
ἔστιν ὅτε καὶ ἐφ᾽ ὧν προεδρευόντων ἐν βήμασιν. Οὐ
(there)-is (a)-time-when even among those presiding at altars not
γὰρ ἁπάντων τολμήσω κατηγορεῖν, οὐδὲ δίκαιον. Ἐπαινῶ
for all I-will-dare to-accuse nor (it-is)-just I-praise
τὸν νηΐτην νόμον, ὃς τὴν κώπην πρότερον ἐγχειρίσας
the nautical law which the oar first having-put-in-hand
τῷ νῦν κυβερνήτῃ, κἀκεῖθεν ἐπὶ τὴν πρώραν ἀγαγὼν,
to-the now pilot and-thence to the prow having-led
καὶ πιστεύσας τὰ ἔμπροσθεν, οὕτως ἐπὶ τῶν οἰάκων
and having-entrusted the(-things) ahead so on the rudders
καθίζει, μετὰ τὴν πολλὴν τυφθεῖσαν θάλασσαν, καὶ τὴν
seats(-him) after the much beaten sea and the
τῶν ἀνέμων διάσκεψιν. Ὡς δὲ κἀν τοῖς πολεμικοῖς ἔχει·
of-the winds observation as and also-in the military(-things) it-is
στρατιώτης, ταξίαρχος, στρατηγός. Αὕτη ἡ τάξις ἀρίστη
soldier captain general this the order (is)-best
καὶ λυσιτελεστάτη τοῖς ἀρχομένοις. Τὸ δ᾽ ἡμέτερον,
and most-profitable for-the(-ones) ruled the but ours

πολλοῦ ἂν ἦν ἄξιον, εἰ οὕτως εἶχε. Νῦν δὲ κινδυνεύει,
of-much — would-be worthy if so it-were now but risks
τὸ πάντων ἁγιώτατον τάγμα, τῶν παρ᾽ ἡμῖν πάντων
the of-all most-holy order of-the(-things) among us of-all
εἶναι καταγελαστότατον. Οὐ γὰρ ἐξ ἀρετῆς μᾶλλον, ἢ
to-be most-ridiculous not for from virtue rather than
κακουργίας, ἡ προεδρία· οὐδὲ τῶν ἀξιωτέρων, ἀλλὰ τῶν
villainy (is)-the presidency nor of-the more-worthy but of-the
δυνατωτέρων, οἱ θρόνοι. Σαμουὴλ ἐν προφήταις, ὁ
more-powerful the thrones Samuel among prophets the(-one)
τὰ ἔμπροσθεν βλέπων· ἀλλὰ καὶ Σαοὺλ, ὁ ἀπόβλητος.
the(-things) ahead seeing but also Saul the rejected
Ῥοβοὰμ ἐν βασιλεῦσιν, ὁ Σολομῶντος· ἀλλὰ καὶ
Reboboam among kings the(-son) of-Solomon but also
Ἱεροβοὰμ, ὁ δοῦλος καὶ ἀποστάτης. Καὶ ἰατρὸς μὲν
Jeroboam the slave and rebel and physician indeed
οὐδεὶς οὐδὲ ζωγράφος, ὅστις οὐ φύσεις ἀῤῥωστημάτων
no-one nor painter (there-is)-who not natures of-diseases
ἐσκέψατο πρότερον, ἢ πολλὰ χρώματα συνεκέρασεν, ἢ
examined before or many colors mixed or
ἐμόρφωσεν· ὁ δὲ πρόεδρος εὑρίσκεται ῥᾳδίως μὴ πονηθεὶς,
molded the but president is-found easily not having-labored
καὶ πρόσφατος τὴν ἀξίαν, ὁμοῦ τε σπαρεὶς καὶ ἀναδοθεὶς,
and fresh in-the dignity at-once both sown and sprung-up
ὡς ὁ μῦθος ποιεῖ τοὺς γίγαντας. Πλάττομεν αὐθημερὸν
as the myth makes the Giants we-mold in-a-day
τοὺς ἁγίους, καὶ σοφοὺς εἶναι κελεύομεν τοὺς οὐδὲν
the saints and wise to-be we-bid the(-ones) in-nothing
σοφισθέντας, οὐδὲ τοῦ βαθμοῦ προεισενεγκόντας τι,
having-been-made-wise nor to-the step having-contributed anything
πλὴν τοῦ βούλεσθαι. Καὶ ὁ μὲν στέργει τὴν κάτω
except the to-wish and the(-one) indeed is-content-with the lower

χώραν, καὶ ταπεινῶς ἕστηκεν, ὁ τῆς ὑψηλῆς ἄξιος,
place and humbly stands the(-one) of-the high worthy
καὶ πολλὰ μὲν τοῖς θείοις λόγοις ἐμμελετήσας, πολλὰ δὲ
and much indeed in-the divine words having-meditated much and
τῇ σαρκὶ νομοθετήσας εἰς ὑποταγὴν πνεύματος· ὁ
on-the flesh having-imposed-law to subjection of-spirit the(-other)
δὲ σοβαρῶς προκαθέζεται, καὶ τὴν ὀφρὺν αἴρει κατὰ τῶν
but haughtily presides and the brow raises against the
βελτιόνων, καὶ οὐκ ἐπιτρέμει τοῖς θρόνοις, οὐδὲ φρίσσει
better(-men) and not trembles at-the thrones nor shudders
τὴν ὄψιν, τὸν ἐγκρατῆ κάτω βλέπων· ἀλλ' ὁμοῦ τῷ
(in)-the sight the self-controlled below seeing but together with-the
κράτει, καὶ σοφώτερον ἑαυτὸν ὑπολαμβάνει, κακῶς εἰδὼς,
power also wiser himself supposes badly knowing
καὶ τὸ φρονεῖν ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένος.
and the to-think by the authority having-been-deprived-of

PRIEST AT CAESAREA

Ordained priest, Basil fell out with his bishop and withdrew with Gregory to Pontus rather than divide the church. When an emperor most gold-loving and Christ-hating came against it, Basil returned and fought until the heretics went away defeated. In a famine he opened the rich men's storehouses by his preaching and served the starving himself. Chosen bishop when the old bishop died in his arms, he pardoned Gregory for declining a share in his rule and won over opponents by gentleness.

27 Ἀλλ' οὐχ ὁ πολὺς οὕτω καὶ μέγας Βασίλειος· ἀλλ' ὥσπερ
but not the much so and great Basil but as
τῶν ἄλλων ἁπάντων, οὕτω καὶ τοῦ περὶ ταῦτα κόσμου
of-the others all so also of-the about these(-things) order

τοῖς πολλοῖς τύπος καθίσταται. Τὰς γὰρ ἱερὰς πρότερον
for-the many (a)-pattern he-is-established the for holy first
ὑπαναγινώσκων τῷ λαῷ βίβλους, ὁ τούτων ἐξηγητὴς,
reading-aloud to-the people books the(-one) of-these interpreter
καὶ ταύτην οὐκ ἀπαξιώσας τὴν τάξιν τοῦ βήματος, οὕτως
and this not having-disdained the rank of-the platform so
ἐν καθέδρᾳ πρεσβυτέρων, οὕτως ἐν ἐπισκόπων αἰνεῖ τὸν
in (the)-seat of-presbyters so in (that)-of-bishops praises the
Κύριον, οὐ κλέψας τὴν ἐξουσίαν, οὐδ' ἁρπάσας, οὐδὲ
Lord not having-stolen the authority nor having-seized(-it) nor
διώξας τὴν τιμὴν, ἀλλ' ὑπὸ τῆς τιμῆς διωχθεὶς, οὐδ'
having-pursued the honor but by the honor pursued nor
ἀνθρωπίνην χάριν, ἀλλ' ἐκ Θεοῦ καὶ θείαν δεξάμενος. Ὁ μὲν
human grace but from God and divine having-received the indeed
οὖν τῆς προεδρίας λόγος ἀναμεινάτω· τῷ δὲ τῆς ὑφεδρίας
then of-the presidency account let-it-wait on-the but of-the second-seat
μικρόν τι προσδιατρίψωμεν. Οἷον γάρ με καὶ τοῦτο μικροῦ
(a)-little some let-us-linger how for me also this almost
παρέδραμεν, ἐν μέσῳ τῶν εἰρημένων κείμενον!
ran-past in (the)-middle of-the(-things) said lying
Ἐγένετό τις πρὸς τὸν ἄνδρα διαφορὰ τῷ πρὸ τούτου 28
there-arose some toward the man (a)-difference for-the before this
καθηγεμόνι τῆς Ἐκκλησίας (τὸ μὲν ὅθεν, καὶ ὅπως, σιωπᾶν
leader of-the Church the indeed whence and how to-be-silent
ἄμεινον, πλὴν ἐγένετο), ἀνδρὶ τἆλλα μὲν οὐκ ἀγεννεῖ,
(is)-better only it-arose (with-a)-man in-the-rest indeed not ignoble
καὶ θαυμαστῷ τὴν εὐσέβειαν, ὡς ἔδειξεν ὁ τότε διωγμὸς,
and wonderful in-the piety as showed the then persecution
καὶ ἡ πρὸς αὐτὸν ἔνστασις, ὅμως δέ τι παθόντι
and the against him resistance nevertheless but something having-suffered
πρὸς ἐκεῖνον ἀνθρώπινον. Ἅπτεται γὰρ οὐ τῶν πολλῶν
toward him human touches for not the many

μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος, ὡς μόνον ἂν εἶναι
only but also the best the blame as alone — to-be
τοῦ Θεοῦ τὸ παντελῶς ἄπταιστον καὶ ἀνάλωτον πάθεσι.
— of-God the wholly unstumbling and unconquerable by-passions
Κινεῖται οὖν ἐπ᾽ αὐτὸν τῆς Ἐκκλησίας ὅσον ἔκκριτον
is-moved then against him of-the Church as-much-as (is)-select
καὶ σοφώτερον· εἴπερ σοφώτεροι τῶν πολλῶν, οἱ
and wiser if-indeed wiser than-the many (are)-the(-ones)
κόσμου χωρίσαντες ἑαυτοὺς, καὶ τῷ Θεῷ τὸν βίον
from-(the)-world having-separated themselves and — to-God the life
καθιερώσαντες. Λέγω δὲ τοὺς καθ᾽ ἡμᾶς Ναζιραίους,
having-consecrated I-mean and the in our(-region) Nazirites
καὶ περὶ τὰ τοιαῦτα μάλιστα ἐσπουδακότας· οἳ δεινὸν
and about the such(-matters) most having-been-zealous who terrible
ποιησάμενοι τὸ σφῶν κράτος παριδεῖν περιυβρισμένον καὶ
having-made(-it) the their power to-overlook insulted and
ἀπωσμένον, πρᾶγμα τολμῶσιν ἐπικινδυνότατον. Ἀπόστασιν
spurned (a)-thing dare most-dangerous (a)-secession
ἐννοοῦσι καὶ ῥῆξιν τοῦ μεγάλου καὶ ἀστασιάστου τῆς
they-consider and breaking of-the great and unfactious of-the
Ἐκκλησίας σώματος, οὐκ ὀλίγην καὶ τοῦ λαοῦ μοῖραν
Church body not small also of-the people part
παρατεμόμενοι, ὅση τε τῶν κάτω, καὶ ὅση
having-cut-off-with(-them) as-much-as both of-the lower and as-much-as
τῶν ἐπ᾽ ἀξίαις. Ῥᾷστον δὲ τοῦτο ἦν ἐκ τριῶν τῶν
of-the(-ones) in rank easiest and this was from three of-the
ἰσχυροτάτων. Ὅ τε γὰρ ἀνὴρ αἰδέσιμος, ὡς οὐκ οἶδ᾽
strongest(-things) the both for man (was)-venerable as not I-know
εἴ τις ἄλλος τῶν καθ᾽ ἡμᾶς φιλοσόφων, καὶ ἱκανὸς
if anyone other of-the(-men) in our(-age) philosophers and able
θάρσος παρασχεῖν, εἴπερ ἐβούλετο, τῷ συστήματι. Τόν
courage to-provide if-indeed he-wished to-the company the

τε λυποῦντα δι᾽ ὑποψίας εἶχεν ἡ πόλις, ἐκ τῆς περὶ
both (one)-grieving(-him) under suspicion held the city from the about
τὴν κατάστασιν ταραχῆς, ὡς οὐκ ἔννομον, οὐδὲ κανονικῶς
the appointment disorder as not lawfully nor canonically
μᾶλλον, ἢ τυραννικῶς τὴν προστασίαν δεξάμενον. Καὶ
rather than tyrannically the presidency having-received and
παρῆσαν τῶν δυτικῶν ἀρχιερέων τινὲς, μεθέλκοντες πρὸς
were-present of-the western bishops some drawing-over to
ἑαυτοὺς τῆς Ἐκκλησίας ὅσον ὀρθόδοξον.
themselves of-the Church as-much-as (was)-orthodox
Τί οὖν ὁ γεννάδας ἐκεῖνος, καὶ τοῦ εἰρηνικοῦ 29
what then (did)-the noble that and of-the peaceable(-one)
μαθητής; Οὔτε γὰρ ἀντιτείνειν εἶχε πρὸς τοὺς ὑβριστὰς,
disciple neither for to-resist he-could against the insolent(-ones)
ἢ τοὺς σπουδαστὰς, οὐδὲ πρὸς αὐτοῦ τὸ μάχεσθαι,
or the zealous(-ones) nor (was)-for him the to-fight
ἢ διασπᾶν τὸ σῶμα τῆς Ἐκκλησίας, καὶ ἄλλως
or to-tear-apart the body of-the Church even otherwise
πολεμουμένης, καὶ σφαλερῶς διακειμένης, ὑπὸ τῆς τότε
warred-against and perilously placed by the then
τῶν αἱρετικῶν δυναστείας. Καὶ ἅμα συμβούλοις ἡμῖν περὶ
of-the heretics power and at-once as-counselors us about
τούτου χρησάμενος καὶ παραινέταις γνησίοις, φυγὰς
this using and as-advisers genuine (as-a)-fugitive
ἐνθένδε σὺν ἡμῖν πρὸς τὸν Πόντον μεταχωρεῖ, καὶ τοῖς
from-here with us to the Pontus withdraws and the
ἐκεῖσε φροντιστηρίοις ἐπιστατεῖ, αὐτὸς δὲ καθιστᾷ τι
there monasteries presides-over he and establishes something
μνήμης ἄξιον, καὶ τὴν ἔρημον ἀσπάζεται μετὰ Ἠλίου
of-memory worthy and the desert embraces with Elijah
καὶ Ἰωάννου, τῶν πάνυ φιλοσόφων· τοῦτο λυσιτελεῖν
and John the very philosophers this to-profit

αὐτῷ μᾶλλον ἡγούμενος, ἤ τι διανοηθῆναι περὶ
him more thinking than anything to-plan about
τῶν παρόντων τῆς ἑαυτοῦ φιλοσοφίας ἀνάξιον, καὶ
the present(-troubles) (of)-the his-own philosophy unworthy and
διαφθείρειν ἐν ζάλῃ τὴν ἐν γαλήνῃ τῶν λογισμῶν
to-ruin in (a)-storm the in calm of-the reasonings
κυβέρνησιν. Καίπερ δὲ οὕτω φιλοσόφου καὶ θαυμασίας
steering although and so philosophic and wonderful
οὔσης τῆς ἀναχωρήσεως, κρείττω καὶ θαυμασιωτέραν
being the withdrawal better and more-wonderful
εὑρήσομεν τὴν ἐπάνοδον. Ἔσχε γὰρ οὕτως·
we-will-find the return it-was for so
30 Ἐν τούτοις ὄντων ἡμῶν, ἐξαίφνης ἐφίσταται νέφος χαλάζης
in these(-things) being us suddenly arrives (a)-cloud of-hail
πλῆρες καὶ τετριγὸς ὀλέθριον, πᾶσαν ἐκτρίψαν Ἐκκλησίαν,
full and shrieking deadly every having-crushed Church
καθ' ἧς ἐῤῥάγη, καὶ ὅσην ἐπέλαβε· βασιλεὺς ὁ
on which it-broke and as-much-as it-seized (an)-emperor the
φιλοχρυσότατος, καὶ μισοχριστότατος, καὶ δύο τὰ μέγιστα
most-gold-loving and most-Christ-hating and two the greatest
ταῦτα νοσῶν, ἀπληστίαν καὶ βλασφημίαν· ὁ μετὰ τὸν
these diseased(-with) greed and blasphemy the(-one) after the
διώκτην, διώκτης, καὶ μετὰ τὸν ἀποστάτην, οὐκ ἀποστάτης
persecutor (a)-persecutor and after the apostate not (an)-apostate
μὲν, οὐδὲν δὲ ἀμείνων Χριστιανοῖς, μᾶλλον δὲ Χριστιανῶν
indeed in-nothing but better for-Christians rather but of-Christians
τῷ εὐσεβεστάτῳ μέρει, καὶ καθαρωτάτῳ, καὶ προσκυνητῇ
to-the most-pious part and purest and worshiper
τῆς Τριάδος, ἣν δὴ μόνην εὐσέβειαν ἐγὼ καλῶ, καὶ
of-the Trinity which indeed alone piety I call and
δόξαν σωτήριον. Οὐ γὰρ θεότητα ταλαντεύομεν, οὐδὲ τὴν
doctrine saving not for (the)-godhead we-weigh nor the

μίαν καὶ ἀπρόσιτον φύσιν ἀποξενοῦμεν ἑαυτῆς, ἐκφύλοις
one and unapproachable nature we-alienate from-itself by-foreign
ἀλλοτριότησιν, οὐδὲ κακῷ τὸ κακὸν ἰώμεθα, τὴν ἄθεον
estrangements nor by-evil the evil we-cure the godless
Σαβελλίου συναίρεσιν ἀσεβεστέρᾳ διαιρέσει καὶ κατατομῇ
of-Sabellius contraction by-(a)-more-impious division and by-cutting-up
λύοντες· ἣν Ἄρειος νοσήσας, ὁ τῆς μανίας
dissolving which Arius having-been-sick-with the(-one) of-the madness
ἐπώνυμος, τὸ πολὺ τῆς Ἐκκλησίας διέσεισε καὶ διέφθειρεν·
named-after the much of-the Church shook and corrupted
οὔτε τὸν Πατέρα τιμήσας, καὶ ἀτιμάσας τὰ ἐξ αὐτοῦ,
neither the Father having-honored and having-dishonored the(-ones) from him
διὰ τῶν ἀνίσων βαθμῶν τῆς θεότητος. Ἀλλὰ μίαν μὲν
through the unequal degrees of-the godhead but one indeed
δόξαν Πατρὸς γινώσκομεν, τὴν ὁμοτιμίαν τοῦ Μονογενοῦς·
glory of-(the)-Father we-know the equal-honor of-the Only-begotten
μίαν δὲ Υἱοῦ, τὴν τοῦ Πνεύματος. Καὶ ὅ τι ἂν τῶν
one and of-(the)-Son that of-the Spirit and whatever — — of-the
τριῶν κάτω θῶμεν, τὸ πᾶν καθαιρεῖν νομίζομεν· τρία μὲν
three below we-place the whole to-destroy we-think three indeed
ταῖς ἰδιότησιν, ἓν δὲ τῇ θεότητι σέβοντες καὶ γινώσκοντες.
in-the properties one but in-the godhead revering and knowing
Ὧν οὐδὲν ἐννοῶν ἐκεῖνος, οὐδὲ ἄνω βλέπειν δυνάμενος,
of-which nothing considering he nor above to-look able
ἀλλ᾽ ὑπὸ τῶν ἀγόντων αὐτὸν ταπεινούμενος, συνταπεινοῦν
but by the(-ones) leading him humbled to-humble-with
ἐτόλμησεν ἑαυτῷ καὶ φύσιν θεότητος· καὶ κτίσμα γίνεται
he-dared himself even (the)-nature of-godhead and (a)-creature becomes
πονηρὸν, εἰς δουλείαν κατάγων τὴν δεσποτείαν, καὶ μετὰ
wicked into slavery bringing-down the lordship and with
τῆς κτίσεως τιθεὶς τὴν ἄκτιστον φύσιν καὶ ὑπέρχρονον.
the creation placing the uncreated nature and beyond-time

31 Ὁ μὲν οὖν οὕτω φρονῶν, καὶ μετὰ τοιαύτης ἡμῖν
he indeed then so thinking and with such against-us
ἐπιστρατεύει τῆς ἀσεβείας. Οὐ γὰρ ἄλλο τι, ἢ
marches the impiety not for other anything than
βαρβαρικὴν καταδρομὴν τοῦτο ὑπολῃπτέον, καθαιροῦσαν,
barbarian invasion (is)-this to-be-supposed destroying
οὐ τείχη, καὶ πόλεις, καὶ οἰκίας, οὐδέ τι τῶν μικρῶν
not walls and cities and houses nor anything of-the small(-things)
καὶ χειροποιήτων, καὶ αὖθις ἀνορθουμένων, ἀλλὰ τὰς
and handmade and again set-up but the
ψυχὰς αὐτὰς κατασύρουσαν. Συνεισβάλλει δὲ αὐτῷ καὶ
souls themselves dragging-down invades-with and him also
στρατὸς ἄξιος, οἱ κακοὶ τῶν Ἐκκλησιῶν ἡγεμόνες, οἱ
(an)-army worthy(-of-him) the evil of-the Churches leaders the
πικροὶ τετράρχαι τῆς ὑπ᾽ αὐτὸν οἰκουμένης· οἱ τὸ μὲν
bitter tetrarchs of-the under him world who the(-part) indeed
ἔχοντες ἤδη τῶν Ἐκκλησιῶν, τῷ δὲ προσβάλλοντες,
holding already of-the Churches the(-other) but attacking
τὸ δὲ ἐλπίζοντες ἐκ τῆς τοῦ βασιλέως ῥοπῆς καὶ
the(-other) and hoping from the of-the emperor weight and
χειρὸς, τῆς μὲν ἐπαγομένης, τῆς δὲ ἀπειλουμένης,
hand the(-one) indeed applied the(-other) and threatened
ἦκον καὶ τὴν ἡμετέραν καταστρεψόμενοι, οὐδενὶ τοσοῦτον
they-came also the ours to-subvert in-nothing so-much
θαρρεῖν ἔχοντες τῶν ἁπάντων, ὅσον τῇ τῶν
to-trust having of-the all(-things) as-much-as in-the of-the(-men)
προειρημένων μικροψυχίᾳ, καὶ ἀπειρίᾳ τοῦ τηνικαῦτα
mentioned-before meanness and inexperience of-the(-one) at-that-time
ἡμῶν προεδρεύοντος, καὶ τοῖς ἐν ἡμῖν ἀῤῥωστήμασιν.
over-us presiding and in-the among us infirmities
Ὁ μὲν οὖν ἀγὼν πολύς· ἡ δὲ προθυμία τῶν πλείστων
the indeed then contest (was)-great the and eagerness of-the most

οὐκ ἀγεννὴς, ἡ δὲ παράταξις ἀσθενὴς, οὐκ ἔχουσα τὸν
not ignoble the but battle-line weak not having the
προαγωνιστὴν καὶ τεχνίτην ὑπέρμαχον ἐν δυνάμει λόγου καὶ
champion and skilled defender in power of-word and
Πνεύματος. Τί οὖν ἡ γενναία καὶ μεγαλόφρων ἐκείνη
of-Spirit what then (did)-the noble and magnanimous that
ψυχὴ, καὶ ὄντως φιλόχριστος; Οὐδὲ πολλῶν ἐδεήθη λόγων
soul and truly Christ-loving not of-many needed words
πρὸς τὸ παρεῖναι καὶ συμμαχεῖν· ἀλλ' ὁμοῦ τε εἶδεν ἡμᾶς
for the to-be-present and to-fight-alongside but at-once both he-saw us
πρεσβεύοντας (κοινὸς γὰρ ἦν ὁ ἀγὼν ἀμφοτέροις ὡς τοῦ
interceding common for was the contest to-both as of-the
λόγου προβεβλημένοις), καὶ τῆς πρεσβείας ἡττήθη· καὶ
doctrine put-forward(-as-champions) and by-the embassy he-was-overcome and
διελὼν ἄριστα παρ' ἑαυτῷ καὶ φιλοσοφώτατα τοῖς
having-distinguished best by himself and most-philosophically by-the
τοῦ Πνεύματος λογισμοῖς, ἄλλον μὲν εἶναι μικροψυχίας
of-the Spirit reasonings other indeed to-be of-meanness
καιρὸν (εἴ τι καὶ τοιοῦτον ἔδει παθεῖν τὸν τῆς
(the)-time if anything even such (one)-had to-suffer that of-the
ἀδείας), ἄλλον δὲ μακροθυμίας, τὸν τῆς ἀνάγκης· εὐθὺς
safety other but of-long-suffering that of-the necessity at-once
τοῦ Πόντου μεθ' ἡμῶν ἀπανίσταται, καὶ ζηλοτυπεῖ τὴν
from-the Pontus with us he-departs and is-zealous-for the
ἀλήθειαν κινδυνεύουσαν, καὶ γίνεται σύμμαχος ἐθελοντὴς,
truth endangered and becomes (an)-ally volunteer
καὶ τῇ μητρὶ φέρων ἑαυτὸν τῇ Ἐκκλησίᾳ δίδωσιν.
and to-the mother bringing himself to-the Church gives
Ἆρ' οὖν προεθυμήθη μὲν οὕτως, ἠγώνισται δὲ τῆς 32
is-it then he-was-eager indeed so he-contended but than-the
προθυμίας ἔλαττον; ἢ διαγωνίζεται μὲν ἀνδρικῶς, οὐ
eagerness less or does-he-contend indeed manfully not

συνετῶς δέ; ἢ πεπαιδευμένως μὲν, ἀκινδύνως δέ; ἢ πάντα
wisely but or learnedly indeed safely but or all
μὲν ταῦτα τελείως καὶ ὑπὲρ λόγον, ὑπελείπετο δέ
indeed these(-things) perfectly and beyond reason was-left but
τι τῆς μικροψυχίας ἐν ἑαυτῷ λείψανον; Οὐδαμῶς. Ἀλλ'
some of-the meanness in himself remnant by-no-means but
ὁμοῦ τὰ πάντα καταλλάττεται, βουλεύεται, παρατάττεται·
at-once the all(-things) he-reconciles counsels arrays
λύει τὰ ἐν τῷ μέσῳ σκῶλα καὶ προσκόμματα, καὶ
loosens the(-things) in the between obstacles and stumbling-blocks and
οἷς ἐκεῖνοι θαρροῦντες καθ' ἡμῶν ἐστρατεύσαντο.
(those)-in-which they trusting against us had-marched
Τὸ μὲν προσλαμβάνει, τὸ δὲ κατέχει, τὸ
the(-one) indeed he-takes-over the(-other) and restrains the(-other)
δὲ ἀποκρούεται. Γίνεται τοῖς μὲν τεῖχος ὀχυρὸν
and repels becomes for-the(-ones) indeed (a)-wall strong
καὶ χαράκωμα, τοῖς δὲ πέλεκυς κόπτων πέτραν,
and rampart for-the(-others) and (an)-axe cutting rock
ἢ πῦρ ἐν ἀκάνθαις, ὅ φησιν ἡ θεία Γραφὴ, ῥᾳδίως
or fire among thorns as says the divine Scripture easily
ἀναλίσκον τοὺς φρυγανώδεις καὶ ὑβριστὰς τῆς Θεότητος.
consuming the brushwood-like and insulters of-the Godhead
Εἰ δέ τι καὶ Βαρνάβας, ὁ ταῦτα λέγων καὶ
if and anything also Barnabas the(-one) these(-things) saying and
γράφων, Παύλῳ συνηγωνίσατο, Παύλῳ χάρις τῷ
writing with-Paul contended to-Paul (be)-thanks to-the(-one)
προελομένῳ, καὶ συνεργὸν ποιησαμένῳ τοῦ ἀγωνίσματος.
having-chosen(-him) and fellow-worker having-made of-the contest
33 Οἱ μὲν οὖν οὕτως ἀπῆλθον ἄπρακτοι, καὶ κακοὶ κακῶς
they indeed then so went-away unsuccessful and bad(-men) badly
τότε πρῶτον αἰσχυνθέντες καὶ ἡττηθέντες, καὶ μαθόντες
then first shamed and defeated and having-learned

μὴ ῥᾳδίως Καππαδοκῶν καταφρονεῖν, εἰ καὶ πάντων
not easily Cappadocians to-despise if even of-all
ἀνθρώπων· ὧν οὐδὲν οὕτως ἴδιον, ὡς τὸ τῆς πίστεως
men of-whom nothing (is)-so (their)-own as the of-the faith
ἀῤῥαγὲς, καὶ πρὸς τὴν Τριάδα πιστὸν καὶ γνήσιον·
unbroken(-quality) and toward the Trinity faithful and genuine
παρ᾽ ἧς καὶ τὸ ἡνῶσθαι καὶ τὸ ἰσχύειν αὐτοῖς, ἃ
from which both the to-be-united and the to-be-strong (is)-theirs which
βοηθοῦσι βοηθουμένοις, μᾶλλον δὲ, πολλῷ κρείττω καὶ
(they)-help (when)-helped rather but by-much stronger and
ἰσχυρότερα. Τῷ δέ τι δεύτερον ἔργον καὶ σπούδασμα
mightier for-him and something second (a)-work and endeavor
γίνεται, θεραπεύειν τὸν πρόεδρον, λύειν τὴν ὑποψίαν,
becomes to-court the bishop to-dissolve the suspicion
πείθειν πάντας ἀνθρώπους, ὡς ἃ μὲν λελύπητο,
to-persuade all men that the(-things) indeed he-had-been-grieved
πεῖρά τις ἦν τοῦ πονηροῦ καὶ πάλη ταῖς εἰς τὸ
(a)-trial some was of-the evil(-one) and (a)-wrestling with-the toward the
καλὸν ὁμονοίαις βασκαίνοντος· αὐτὸς δὲ ᾔδει νόμους
good concords envying he but knew (the)-laws
εὐπειθείας καὶ πνευματικῆς τάξεως. Διὰ τοῦτο παρῆν,
of-obedience and of-spiritual order for this he-was-present
ἐσόφιζεν, ὑπήκουεν, ἐνουθέτει, πάντα ἦν αὐτῷ, σύμβουλος
he-advised he-obeyed he-admonished all(-things) was to-him (a)-counselor
ἀγαθὸς, παραστάτης δεξιὸς, τῶν θείων ἐξηγητὴς,
good (an)-assistant able of-the divine(-things) interpreter
τῶν πρακτέων καθηγητὴς, γήρως βακτηρία, πίστεως
of-the(-things) to-be-done guide of-old-age staff of-faith
ἔρεισμα, τῶν ἔνδον ὁ πιστότατος, τῶν ἐκτὸς ὁ
support of-the(-ones) within the most-faithful of-the(-ones) outside the
πρακτικώτατος· ἑνὶ λόγῳ, τοσοῦτος εἰς εὔνοιαν, ὅσος
most-practical in-one word so-great in goodwill as-great-as

εἰς ἔχθραν τὸ πρὶν ἐνομίζετο. Ἐντεῦθεν αὐτῷ περιῆν
in enmity the(-time) before he-was-thought from-here to-him came
καὶ τὸ κράτος τῆς Ἐκκλησίας, εἰ καὶ τῆς καθέδρας εἶχε
also the power of-the Church if even of-the see he-held
τὰ δεύτερα. Τὴν γὰρ εὔνοιαν εἰσφέρων, τὴν ἐξουσίαν
the second(-place) the for goodwill bringing the authority
ἀντελάμβανε· καὶ ἦν θαυμαστή τις ἡ συμφωνία, καὶ ἡ
he-received-in-return and was wonderful some the harmony and the
πλοκὴ τοῦ δύνασθαι. Ὁ μὲν τὸν λαὸν ἦγεν, ὁ
interweaving of-the to-have-power the(-one) indeed the people led the(-other)
δὲ τὸν ἄγοντα· καὶ οἷον λεοντοκόμος τις ἦν, τέχνῃ
and the(-one) leading and like (a)-lion-keeper some he-was with-art
τιθασσεύων τὸν δυναστεύοντα. Καὶ γὰρ ἐδεῖτο, νεωστὶ μὲν
taming the(-one) ruling and for he-needed recently indeed
ἐπὶ τὴν καθέδραν τεθεὶς, ἔτι δὲ τῆς κοσμικῆς ὕλης τι
to the see placed still and of-the worldly stuff something
πνέων, οὔπω δὲ κατηρτισμένος ἐν τοῖς τοῦ Πνεύματος,
breathing not-yet and trained in the(-things) of-the Spirit
πολλοῦ δὲ τοῦ κλύδωνος περιζέοντος, καὶ τῶν ἐπικειμένων
much and the surge seething-around and of-the besetting
τῆς Ἐκκλησίας ἐχθρῶν, τοῦ χειραγωγοῦντος καὶ
of-the Church enemies (of)-the(-one) guiding and
ὑπερείδοντος. Διὰ τοῦτο καὶ τὴν συμμαχίαν ἠγάπα, καὶ
supporting for this also the alliance he-loved and
κρατοῦντος ἐκείνου, κρατεῖν αὐτὸς ὑπελάμβανε.
(when)-prevailing that(-man) to-prevail himself he-supposed

34 Τῆς δὲ περὶ τὴν Ἐκκλησίαν τοῦ ἀνδρὸς κηδεμονίας καὶ
of-the and about the Church of-the man guardianship and
προστασίας, πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα· παῤῥησία
protection many indeed also other tokens boldness
πρὸς ἄρχοντας, τούς τε ἄλλους, καὶ τοὺς δυνατωτάτους
toward rulers the both others and the most-powerful

τῆς πόλεως· διαφορῶν λύσεις οὐκ ἀπιστούμεναι, ἀλλ' ὑπὸ
of-the city of-disputes solutions not distrusted but by
τῆς ἐκείνου φωνῆς τυπούμεναι, νόμῳ τῷ τρόπῳ χρώμεναι·
the his voice stamped as-law the character using
προστασίαι τῶν δεομένων, αἱ μὲν πλείους πνευματικαὶ,
protections of-the needy the(-ones) indeed more spiritual
οὐκ ὀλίγαι δὲ καὶ σωματικαὶ (καὶ γὰρ καὶ τοῦτο πολλάκις
not few but also bodily and for also this often
εἰς ψυχὴν φέρει δι' εὐνοίας δουλούμενον)· πτωχοτροφίαι,
to (the)-soul leads through goodwill enslaved poor-feedings
ξενοδοχίαι, παρθενοκομίαι· νομοθεσίαι μοναστῶν, ἔγγραφοί
hospitalities care-of-virgins legislations for-monks written
τε καὶ ἄγραφοι· εὐχῶν διατάξεις, εὐκοσμίαι τοῦ βήματος,
both and unwritten of-prayers orderings adornments of-the sanctuary
τὰ ἄλλα οἷς ἂν ὁ ἀληθῶς ἄνθρωπος τοῦ Θεοῦ,
the other(-things) by-which — the truly man — of-God
καὶ μετὰ Θεοῦ τεταγμένος λαὸν ὠφελήσειεν· ἓν δὲ,
and with God ranked (the)-people might-benefit one but
ὃ μέγιστόν τε καὶ γνωριμώτατον. Λιμὸς ἦν, καὶ
which (is)-greatest both and best-known famine there-was and
τῶν πώποτε μνημονευομένων ὁ χαλεπώτατος· ἔκαμνε
of-the(-ones) ever remembered the most-grievous was-suffering
δὲ ἡ πόλις, ἐπικουρία δ' ἦν οὐδαμόθεν, οὐδέ τι
and the city help and was from-nowhere nor any
φάρμακον τῆς κακώσεως. Αἱ μὲν γὰρ παραλίαι
remedy of-the affliction the(-regions) indeed for coastal
τὰς τοιαύτας ἐνδείας οὐ χαλεπῶς ἀναφέρουσι, διδοῦσαι
the such wants not with-difficulty bear giving
τὰ παρ' ἑαυτῶν, καὶ τὰ παρὰ τῆς θαλάσσης
the(-things) from themselves and the(-things) from the sea
δεχόμεναι· τοῖς δ' ἠπειρώταις ἡμῖν καὶ τὸ περιττεῦον
receiving for-the but inlanders us even the surplus

ἀνόνητον καὶ τὸ ἐνδέον ἀνεπινόητον, οὐκ ἔχουσιν ὅπως,
(is)-useless and the lack (is)-irremediable not having how
ἢ διαθώμεθά τι τῶν ὄντων, ἢ τῶν οὐκ
either we-may-dispose-of anything of-the(-things) existing or of-the(-things) not
ὄντων εἰσκομισώμεθα· καὶ ὃ χαλεπώτατόν ἐστιν ἐν τοῖς
existing we-may-import and what most-grievous is in the
τοιούτοις, ἡ τῶν ἐχόντων ἀναλγησία καὶ ἀπληστία.
such(-times) the of-the(-ones) having callousness and greed
Τηροῦσι γὰρ τοὺς καιροὺς, καὶ καταπραγματεύονται τῆς
they-watch for the times and trade of-the
ἐνδείας, καὶ γεωργοῦσι τὰς συμφοράς· οὔτε, τῷ Κυρίῳ
want and farm the misfortunes neither to-the Lord
δανείζειν τὸν ἐλεοῦντα πτωχοὺς, ἀκούοντες· οὐδ' ὅτι
to-lend the(-one) pitying (the)-poor hearing nor that
ὁ συνέχων σῖτον δημοκατάρατος· οὔτ' ἄλλο οὐδὲν
the(-one) holding-back grain (is)-cursed-by-the-people nor other anything
τῶν ἢ τοῖς φιλανθρώποις ἐπηγγελμένων, ἢ τοῖς
of-the(-things) either to-the humane promised or to-the
ἀπανθρώποις ἠπειλημμένων. Ἀλλ' εἰσὶ τοῦ δέοντος
inhumane threatened but they-are than-the needful
ἀπληστότεροι, καὶ φρονοῦσι κακῶς· ἐκείνοις μὲν τὰ
more-greedy and think badly to-those indeed the
ἑαυτῶν, ἑαυτοῖς δὲ τὰ τοῦ Θεοῦ σπλάγχνα κλείοντες,
their-own to-themselves but the — of-God mercy shutting
οὗ καὶ μᾶλλον χρῄζοντες ἀγνοοῦσιν, ἢ αὐτῶν
of-which even more needing they-know-not than of-their(-own)
ἕτεροι. Ταῦτα μὲν οἱ σιτῶναι καὶ σιτοκάπηλοι, καὶ μήτε
others these(-things) indeed the grain-buyers and grain-bucksters and neither
τὸ συγγενὲς αἰδούμενοι, μήτε περὶ τὸ Θεῖον εὐχάριστοι,
the kinship respecting nor toward the Divine grateful
παρ' οὗ τὸ ἔχειν αὐτοῖς, ἄλλων πιεζομένων.
from whom (is)-the to-have for-them others being-pressed

Ὁ δὲ ὗειν μὲν οὐκ εἶχεν ἄρτον ἐξ οὐρανοῦ δι᾽ εὐχῆς, 35
he but to-rain indeed not could bread from heaven through prayer
καὶ τρέφειν ἐν ἐρήμῳ λαὸν φυγάδα, οὐδὲ πυθμέσι
and to-feed in (the)-desert (a)-people fugitive nor from-the-bottoms
πηγάζειν τροφὴν ἀδάπανον κενώσει πληρουμένοις, ὃ καὶ
to-make-gush food costless by-emptying (being)-filled which (is)-also
παράδοξον, ἵνα τρέφῃ τρέφουσαν εἰς φιλοξενίας
paradoxical so-that she-might-feed (the-one)-feeding(-him) for of-hospitality
ἀντίδοσιν· οὐδὲ πέντε ἄρτοις ἑστιᾶν χιλιάδας, ὧν καὶ
(a)-return nor with-five loaves to-feast thousands of-which even
τὰ λείψανα πολλῶν τραπεζῶν ἄλλη δύναμις. Ταῦτα γὰρ
the remnants for-many tables another power these(-things) for
Μωϋσέως ἦν, καὶ Ἠλίου, καὶ τοῦ ἐμοῦ Θεοῦ, παρ᾽ οὗ
of-Moses were and of-Elijah and of-the my God from whom
κἀκείνοις τὸ ταῦτα δύνασθαι. Ἴσως δὲ καὶ τῶν καιρῶν
even-to-them the these(-things) to-be-able perhaps and also of-the times
ἐκείνων, καὶ τῆς τότε καταστάσεως, ἐπειδὴ τὰ σημεῖα
those and of-the then condition since the signs
τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσιν. Ἃ δὲ
(are)-for-the unbelieving not for-the(-ones) believing (the-things)-which but
τούτοις ἐστὶν ἀκόλουθα, καὶ εἰς ταυτὸν φέρει, ταῦτα
to-these are consequent and to the-same lead these(-things)
καὶ διενοήθη καὶ κατεπράξατο μετὰ τῆς αὐτῆς πίστεως.
both he-planned and accomplished with the same faith
Λόγῳ γὰρ τὰς τῶν ἐχόντων ἀποθήκας ἀνοίξας καὶ
by-word for the of-the(-ones) having storehouses having-opened and
παραινέσεσι, ποιεῖ τὸ τῆς Γραφῆς· Διαθρύπτει πεινῶσι
by-exhortations he-does the(-thing) of-the Scripture he-breaks to-the-hungry
τροφὴν, καὶ χορτάζει πτωχοὺς ἄρτων, καὶ διατρέφει αὐτοὺς
food and fills (the)-poor with-loaves and nourishes them
ἐν λιμῷ, καὶ ψυχὰς πεινώσας ἐμπίμπλησιν ἀγαθῶν.
in famine and souls hungering fills with-good(-things)

Καὶ τίνα τρόπον; οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς προσθήκην.
and in-what way not for this (is)-small for addition
Συναγαγὼν γὰρ ἐν ταυτῷ τοὺς λιμοῦ τραυματίας,
having-gathered for in the-same(-place) the of-famine wounded(-ones)
ἔστι δὲ οὓς καὶ μικρὸν ἀναπνέοντας, ἄνδρας καὶ γυναῖκας,
there-are and some even (a)-little breathing men and women
νηπίους, γέροντας, πᾶσαν ἡλικίαν ἐλεεινὴν, πᾶν εἶδος
infants old(-men) every age pitiable every kind
τροφῆς ἐρανίζων, ὅση τυγχάνει λιμοῦ βοήθεια, ἔτνους
of-food collecting as-much-as is of-famine (a)-help of-pea-soup
τε πλήρεις προθεὶς λέβητας, καὶ τοῦ ταριχευτοῦ παρ᾽ ἡμῖν
both full setting-out cauldrons and of-the pickled among us
ὄψου, καὶ πένητας τρέφοντος. Ἔπειτα τὴν τοῦ Χριστοῦ
relish even (the)-poor nourishing then the — of-Christ
διακονίαν μιμούμενος, ὃς, καὶ λεντίῳ διαζωννύμενος,
ministry imitating who also with-(a)-towel girding(-himself)
οὐκ ἀπηξίου νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ τοῖς
not disdained to-wash the feet of-the disciples and with-the
ἑαυτοῦ παισὶν, εἴτουν συνδούλοις, πρὸς τοῦτο συνεργοῖς
his-own servants or-rather fellow-servants for this as-fellow-workers
χρώμενος, ἐθεράπευε μὲν τὰ σώματα τῶν δεομένων,
using he-tended indeed the bodies of-the(-ones) in-need
ἐθεράπευε δὲ τὰς ψυχὰς, συμπλέκων τῇ χρείᾳ τὸ
he-tended but the souls combining with-the need the(-thing)
τῆς τιμῆς, καὶ ῥᾴους ποιῶν ἀμφοτέρωθεν.
of-the honor and easier making both-ways

36 Τοιοῦτος ἦν ὁ νέος σιτοδότης ἡμῖν, καὶ δεύτερος Ἰωσήφ·
such was the new grain-giver to-us and (a)-second Joseph
πλὴν ὅτι καὶ πλέον τι λέγειν ἔχομεν. Ὁ μὲν γὰρ
except that even more something to-say we-have he indeed for
καταπραγματεύεται τοῦ λιμοῦ, καὶ τὴν Αἴγυπτον ἐξωνεῖται
trades-on the famine and the Egypt buys

τῷ φιλανθρώπῳ, τὸν τῆς ἀφθονίας καιρὸν εἰς τὸν
with-the humane(-act) the of-the abundance time into the
τοῦ λιμοῦ διαθέμενος, καὶ τοῖς ἑτέρων ὀνείροις εἰς τοῦτο
of-the famine having-disposed and by-the others' dreams for this
διαταττόμενος· ὁ δὲ προῖκα χρηστὸς ἦν, καὶ τῆς
being-appointed the(-other) but freely kind was and of-the
σιτοδείας ἐπίκουρος ἀπραγμάτευτος, πρὸς ἓν ὁρῶν, τῷ
grain-shortage (a)-helper without-trading toward one looking by-the
φιλανθρώπῳ τὸ φιλάνθρωπον κτήσασθαι, καὶ τῶν ἐκεῖθεν
humane(-act) the humaneness to-acquire and the thence
τυχεῖν ἀγαθῶν διὰ τῆς ἐνταῦθα σιτομετρίας. Ταῦτα μετὰ
to-obtain goods through the here grain-measuring these(-things) with
τῆς τοῦ λόγου τροφῆς, καὶ τῆς τελεωτέρας εὐεργεσίας καὶ
the of-the word food and the more-perfect beneficence and
διαδόσεως, τῆς ὄντως οὐρανίου καὶ ὑψηλῆς· εἴπερ ἄρτος
distribution the truly heavenly and lofty if-indeed bread
ἀγγέλων λόγος, ᾧ ψυχαὶ τρέφονται καὶ ποτίζονται Θεὸν
of-angels (is-the)-word by-which souls are-fed and watered God
πεινῶσαι, καὶ ζητοῦσαι τροφὴν οὐ ῥέουσαν, οὐδ' ἀπιοῦσαν,
hungering-for and seeking food not flowing nor going-away
ἀλλ' ἀεὶ μένουσαν· ἧς σιτοδότης ἦν ἐκεῖνος, καὶ μάλα
but always remaining of-which grain-giver was he and very
πλούσιος, ὁ πενέστατος ὢν ἴσμεν καὶ ἀπορώτατος,
rich the poorest of-the(-men) we-know and most-needy
οὐ λιμὸν ἄρτων, οὐδὲ δίψαν ὕδατος ἐξιώμενος, λόγου δὲ
not (the)-hunger for-loaves nor thirst for-water curing of-word but
πόθον, τοῦ ἀληθῶς ζωτικοῦ καὶ τροφίμου, καὶ εἰς αὔξησιν
(the)-longing of-the truly life-giving and nourishing and to growth
ἄγοντος πνευματικῆς ἡλικίας τὸν καλῶς τρεφόμενον.
leading of-spiritual stature the(-one) well fed

37 Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων (τί γὰρ δεῖ
from indeed these(-things) and the such(-things) why for must-one
πάντα λέγοντα διατρίβειν;) ἄρτι τοῦ φερωνύμου τῆς
all(-things) telling to-linger just-now the(-one) named-for the
εὐσεβείας μετατεθέντος, καὶ ταῖς ἐκείνου χερσὶν ἡδέως
piety having-been-translated and in-the his hands sweetly
ἐναποψύξαντος, ἐπὶ τὸν ὑψηλὸν τῆς ἐπισκοπῆς θρόνον
having-breathed-his-last to the lofty of-the episcopate throne
ἀνάγεται· οὐκ ἀμογητὶ μὲν, οὐδὲ ἄνευ βασκανίας καὶ
πρὸς γάμον ἕλκων ἀπαξιοῦσαν. Ἡ δὲ οὐκ ἔχουσα, ὅπως
to marriage dragging (her)-unwilling she but not having how
διαφύγῃ τὴν τυραννίδα, βουλὴν βουλεύεται, οὐ τολμηρὰν
she-might-escape the tyranny (a)-counsel counsels not bold
μᾶλλον ἢ συνετήν. Τῇ ἱερᾷ τραπέζῃ προσφεύγει, καὶ
more than prudent to-the holy table she-flees and
Θεὸν ποιεῖται προστάτην κατὰ τῆς ἐπηρείας. Τί οὖν ἔδει
God makes protector against the outrage what then (one)-had
ποιεῖν, ὦ πρὸς τῆς Τριάδος αὐτῆς (ἵν' εἴπω τι
to-do O by the Trinity itself so-that I-may-say something
καὶ δικανικῶς μεταξὺ τῶν ἐπαίνων)! μὴ ὅτι τὸν μέγαν
also forensically amid the praises not that the great
Βασίλειον, καὶ τῶν τοιούτων ἅπασι νομοθέτην, ἄλλον δέ
Basil and of-the such(-things) for-all lawgiver another but
τινα τῶν πολὺ μετ' ἐκεῖνον, ἱερέα δὲ ὅμως; Οὐκ
some(-one) of-the(-ones) much after him (a)-priest but nevertheless not
ἀντιποιεῖσθαι, κατέχειν, κήδεσθαι, χεῖρα ὀρέγειν Θεοῦ
to-lay-claim to-hold-fast to-care (a)-hand to-stretch-out by-God's
φιλανθρωπίᾳ, καὶ νόμῳ τῷ τετιμηκότι θυσιαστήρια; οὐ
love-of-man and by-law the(-one) having-honored altars not
πάντα δρᾶσαι καὶ παθεῖν ἐθελῆσαι πρότερον, ἤ τι
all(-things) to-do and to-suffer to-be-willing rather than anything
βουλεύσασθαι κατ' αὐτῆς ἀπάνθρωπον, καὶ καθυβρίσαι
to-plan against her inhuman and to-outrage
μὲν τὴν ἱερὰν τράπεζαν, καθυβρίσαι δὲ τὴν πίστιν μεθ'
indeed the holy table to-outrage and the faith with
ἧς ἱκέτευεν; Οὐ, φησὶν ὁ καινὸς δικαστής· ἀλλ' ἡττᾶσθαι
which she-supplicated no says the new judge but to-be-defeated
χρὴ πάντας τῆς ἐμῆς δυναστείας, καὶ προδότας γενέσθαι
must all by-the my power and traitors to-become
Χριστιανοὺς τῶν οἰκείων νόμων. Ὁ μὲν ἐζήτει τὴν ἱκέτιν·
Christians of-the own laws he indeed sought the suppliant

ὁ δ' εἶχετο κατακράτος. Ὁ δ' ἐξεμαίνετο, καὶ τέλος πέμπει
he but held(-her) by-force he but raged and finally sends
τινὰς τῶν ἐπ' ἐξουσίας, τὸν τοῦ ἁγίου κοιτωνίσκον
some of-the(-ones) in authority the of-the holy(-man) bedchamber
ἐξερευνήσοντας, οὐ κατὰ χρείαν μᾶλλον, ἢ ἀτιμίαν. Τί
to-search not for need rather than dishonor what
λέγεις; Οἶκον ἐκείνου τοῦ ἀπαθοῦς, ὃν περιέπουσιν
do-you-say (the)-house of-that the impassible(-man) whom surround
ἄγγελοι, ᾧ καὶ προσβλέπειν ὄκνουσι γυναῖκες; Καὶ οὐ
angels on-whom even to-look shrink women and not
τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸν παρεῖναι καὶ ἀπολογεῖσθαι
this only but also himself to-be-present and to-defend(-himself)
κελεύει· οὐδὲ ἡμέρως καὶ φιλανθρώπως, ἀλλ' ὡς ἕνα τῶν
he-orders nor gently and humanely but as one of-the
κατακρίτων. Καὶ ὁ μὲν παρῆν· ὁ δὲ προὐκάθητο,
condemned and he indeed was-present the(-other) but presided
γέμων θυμοῦ καὶ φρονήματος. Εἱστήκει δὲ, οἷον ὁ ἐμὸς
full of-anger and arrogance stood and as the my
Ἰησοῦς, Πιλάτου κρίνοντος. Οἱ κεραυνοὶ δὲ ἠμέλουν, ἡ
Jesus Pilate judging the thunderbolts but were-idle the
δὲ τοῦ Θεοῦ μάχαιρα ἐστιλβοῦτο ἔτι, καὶ ἀνεβάλλετο·
but — of-God sword was-whetted still and was-held-back
καὶ τὸ τόξον ἐνετείνετο μὲν, κατείχετο δὲ, τῇ μετανοίᾳ
and the bow was-stretched indeed was-restrained but for-the repentance
καιρὸν ὑπανοῖγον. Ὅστις δὴ τοῦ Θεοῦ νόμος.
time opening-up which indeed — of-God (is-the)-law
Ἄθρει δὴ πάλην ἑτέραν ἀγωνιστοῦ καὶ διώκτου. Τὸ 57
see indeed (a)-wrestling another of-contestant and persecutor the
περιαυχένιον ῥάκος σφενδονᾶσθαι προσέταττεν· ὁ δὲ,
neck rag to-be-torn-off he-ordered he but
Προσαποδύσομαί σοι, φησὶν, εἰ βούλει, καὶ τὸ χιτώνιον.
I-will-strip-off-besides for-you he-says if you-wish also the tunic

Τύπτειν ἠπείλει τὸν ἄσαρκον· ὁ δὲ ὑπέκυπτε. Ξέειν τοῖς
to-beat he-threatened the fleshless(-man) he but stooped to-tear with-the
ὄνυξιν· ὁ δὲ, Ἰατρεύεις, φησὶ, τὸ ἧπαρ, ὁρᾷς ὅπως με
claws he but you-heal he-says the liver you-see how me
κατατρύχον τοῖς τοιούτοις θεραπεύων σπαράγμασιν. Οἱ
(it-is)-wasting by-the such healing tearings they
μὲν οὖν ἐν τούτοις ἦσαν. Ἡ δὲ πόλις, ὡς ᾔσθετο τοῦ
indeed then in these(-things) were the but city when it-perceived the
κακοῦ, καὶ τοῦ κοινοῦ πάντων κινδύνου (κίνδυνον γὰρ
evil and the common of-all danger (a)-danger for
ἕκαστος ἑαυτοῦ τὴν ὕβριν ταύτην ἐνόμιζεν), ἐκμαίνεται
each of-himself the outrage this thought rages
πᾶσα καὶ ἀνάπτεται· καὶ ὡς καπνοῦ σμῆνος κινήσαντος,
all and is-inflamed and as smoke (a)-swarm having-stirred
ἄλλος ἐπ᾽ ἄλλῳ διεγείρεται καὶ ἀνίσταται, γένος ἅπαν,
one upon another is-roused and rises race every
καὶ ἡλικία πᾶσα, οἳ περὶ τὴν ὁπλοποιητικὴν καὶ βασίλειον
and age all who about the arms-making and imperial
ἱστουργικὴν μάλιστα. Καὶ γάρ εἰσι περὶ τὰ τοιαῦτα
weaving most and for they-are about the such(-things)
θερμότεροι, καὶ τὸ τολμᾶν ἐκ τῆς παῤῥησίας ἔχοντες. Καὶ
hotter and the to-dare from the freedom-of-speech having and
πᾶν ἦν ὅπλον ἑκάστῳ, τὸ παρὸν ἐκ τῆς τέχνης,
every(-thing) was (a)-weapon to-each the(-thing) present from the craft
εἴτε τι ἄλλο τῷ καιρῷ τύχοι σχεδιασθέν. Αἱ δᾳδες ἐν
if anything other at-the moment happened improvised the torches in
χερσὶν, οἱ λίθοι προβεβλημένοι, τὰ ῥόπαλα εὐτρεπῆ, δρόμος
hands the stones held-ready the clubs prepared (a)-running
ἁπάντων εἷς, βοὴ μία, προθυμία κοινή. Θυμὸς, ὁ δεινὸς
of-all one (a)-shout one eagerness common anger the terrible
ὁπλίτης, ἢ στρατηγός. Οὐδὲ γυναῖκες ἄοπλοι τηνικαῦτα,
hoplite or general nor women unarmed then

τοῦ καιροῦ θήγοντος· μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες·
the occasion sharpening(-them) spears and were for-them the shuttles
αἳ οὐδὲ γυναῖκες ἔμενον ἔτι, τῷ ζήλῳ ῥωσθεῖσαι, καὶ
who not-even women remained any-longer by-the zeal strengthened and
εἰς ἀνδρῶν θάρσος μεταλλαττόμεναι. Βραχὺς ὁ λόγος·
into men's boldness changed brief (is)-the word
μερίζεσθαι τὴν εὐσέβειαν ᾤοντο, εἰ τοῦτον διέλοιντο· καὶ
to-divide the piety they-thought if him they-should-divide and
οὗτος αὐτοῖς εὐσεβέστερος ἦν, ὃς πρῶτος ἐπιβαλεῖ χεῖρα
this(-one) to-them more-pious was who first will-lay-on (a)-hand
τῷ τολμητῇ τῶν τοιούτων. Τί οὖν ὁ σοβαρὸς ἐκεῖνος
on-the darer of-the such(-things) what then(-did) the haughty that
καὶ θρασὺς δικαστής; Ἱκέτης ἦν, ἐλεεινὸς, ἄθλιος,
and insolent judge (a)-suppliant he-was pitiable wretched
τίνος οὐ ταπεινότερος; ἕως ἐπιφανεὶς ὁ χωρὶς αἵματος
than-whom not more-humble until having-appeared the without blood
μάρτυς, καὶ χωρὶς πληγῶν στεφανίτης, καὶ βίᾳ τὸν λαὸν
martyr and without blows crowned(-victor) and by-force the people
κατασχὼν αἰδοῖ κρατηθέντα, τὸν ἱκέτην ἑαυτοῦ καὶ
restraining by-reverence ruled the suppliant his and
ὑβριστὴν διεσώσατο. Ταῦτα ὁ τῶν ἁγίων Θεὸς, ὁ
insulter saved these(-things) the of-the saints God the(-one)
ποιῶν πάντα καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον, ὁ
making all(-things) and transforming toward the better the(-one)
τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, ταπεινοῖς δὲ χάριν
to-the proud opposing to-humble but grace
ἐπιμετρῶν. Τί δὲ οὐκ ἔμελλεν ὁ τεμὼν θάλασσαν,
measuring-out why and not was-likely the(-one) having-cut (the)-sea
καὶ ποταμὸν ἀνακόψας, καὶ στοιχεῖα τυραννήσας, καὶ
and (a)-river having-checked and elements having-tyrannized and

χειρῶν ἐκτάσει τρόπαια στήσας, ἵνα διασώσῃ λαὸν
of-hands by-(the)-stretching trophies having-set-up so-that he-might-save (a)-people
φυγάδα, καὶ τοῦτον ἐξαιρήσεσθαι τῶν κινδύνων;
fugitive also this(-man) to-rescue from-the dangers

STRIFE AMONG THE BISHOPS AND BASIL'S VIRTUES

Then came the war among the bishops: the province was split, the new metropolitan seized its revenues, and Basil answered by filling the country with bishops. Gregory praises his virtues, from his poverty and fasting to the new city of charity for lepers, and his alleged pride, which was firmness. His writings are read everywhere. He avoided calling the Spirit God in so many words, lest the heretics banish him, and waited for a freer time.

58 Ὁ μὲν δὴ κοσμικὸς πόλεμος ἐνταῦθα ἐτελεύτησε, καὶ
the indeed truly worldly war here ended and
πέρας εἶχεν ἐκ Θεοῦ δεξιὸν, καὶ τῆς ἐκείνου πίστεως
end had from God favorable and of-the his faith
ἄξιον. Ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη τῶν ἐπισκόπων,
worthy begins but the war from-here already of-the bishops
καὶ τῶν ἐκείνοις συμμάχων· οὗ πολὺ μὲν τὸ ἄδοξον,
and of-the to-them allies of-which much indeed the inglorious
πλείων δὲ ἡ βλάβη τοῖς ἀρχομένοις. Τίς γὰρ ἂν τοὺς
greater but the harm to-the(-ones) ruled who for — the
ἄλλους πείσειε μετριάζειν, οὕτω τῶν προεστώτων
others could-persuade to-be-moderate so the(-ones) presiding
διακειμένων; Εἶχον μὲν γὰρ οὐδ' ἐκ πλείονος ἐπιεικῶς
being-disposed they-were indeed for not-even from longer reasonably
πρὸς αὐτὸν, τριῶν ὄντων τῶν ὑπαιτίων. Οὔτε γὰρ τῷ
toward him three being the causes neither for to-the
τῆς πίστεως λόγῳ συνέβαινον, ὅτι μὴ πᾶσα ἀνάγκη τοῖς
of-the faith doctrine they-agreed except — all necessity by-the

πλήθεσι βιαζόμενοι· οὔτε τὴν ἐπὶ τῇ χειροτονίᾳ μικροψυχίαν
multitudes forced nor the at the ordination pettiness
τελέως καταλελύκασιν· καὶ τὸ παρὰ πολὺ τῆς δόξης
completely have-dissolved and the by much in-the reputation
κρατεῖσθαι, πάντων βαρύτατον ἦν αὐτοῖς, εἰ καὶ ὁμολογεῖν
to-be-surpassed of-all heaviest was to-them if even to-confess
αἴσχιστον. Ἐγένετο δὲ καὶ ἄλλη τις διαφορὰ, ἣ ταῦτα
most-shameful happened and also other some difference which these(-things)
ἐκαινοποίησε. Τῆς γὰρ πατρίδος ἡμῶν εἰς δύο διαιρεθείσης
renewed of-the for fatherland our into two divided
ἡγεμονίας καὶ μητροπόλεις, καὶ πολλὰ τῶν ἐκ τῆς
governments and metropolises and many of-the(-parts) from the
προτέρας τῇ νέᾳ προσαγούσης, ἐντεῦθεν καὶ τὰ
former to-the new having-joined from-here also the(-affairs)
ἐκείνων ἐστασιάσθη. Ὁ μὲν γὰρ ἠξίου τοῖς δημοσίοις
of-those were-in-faction the(-one) indeed for deemed to-the public(-divisions)
συνδιαιρεῖσθαι καὶ τὰ ἡμέτερα, καὶ διὰ τοῦτο μετεποιεῖτο
to-be-divided-with also the our(-affairs) and because-of this he-laid-claim-to
τῶν νεωστὶ προσελθόντων, ὡς αὐτῷ διαφερόντων ἤδη
the(-parts) recently having-come-over as to-him belonging already
κἀκείνου κεχωρισμένων· ὁ δὲ τῆς παλαιᾶς εἴχετο
and-from-that(-one) separated the(-other) but the old held-to
συνηθείας, καὶ τῆς ἐκ τῶν Πατέρων ἄνωθεν διαιρέσεως.
custom and the from the Fathers of-old division
Ἐξ ὧν πολλὰ καὶ δεινὰ, τὰ μὲν συνέβαινεν ἤδη,
from which many(-things) and terrible the(-things) indeed happened already
τὰ δὲ ὠδίνετο. Ὑπεσπῶντο σύνοδοι παρὰ τοῦ νέου
the(-things) but were-in-travail were-drawn-away synods by the new
μητροπολίτου, πρόσοδοι διηρπάζοντο· πρεσβύτεροι τῶν
metropolitan revenues were-plundered presbyters of-the
Ἐκκλησιῶν, οἱ μὲν ἀνεπείθοντο, οἱ δὲ ὑπηλλάττοντο.
Churches some indeed were-won-over others and were-replaced

Ἐξ ὧν συνέβαινε, καὶ τὰ τῶν Ἐκκλησιῶν χεῖρον
from which it-happened also the(-affairs) of-the Churches worse
ἔχειν διισταμένων καὶ τεμνομένων. Καὶ γάρ πως ταῖς
to-be being-divided and cut and for somehow in-the
καινοτομίαις χαίρουσιν ἄνθρωποι, καὶ τὰ σφῶν ἡδέως
innovations rejoice men and the their-own(-things) gladly
παρακερδαίνουσι· καὶ ῥᾷόν τι καταλῦσαι τῶν
gain-by-the-way and easier (it-is)-anything to-overthrow of-the(-things)
καθεστώτων, ἢ καταλυθὲν ἐπαναγαγεῖν. Ὃ δὲ πλεῖον
established than overthrown to-restore what but more
αὐτὸν ἐξέμηνεν, αἱ Ταυρικαὶ πρόσοδοι καὶ παρόδιοι, αὐτῷ
him maddened the Taurian revenues and road-tolls to-him
μὲν ὁρώμεναι, ἐκείνῳ δὲ προσγενόμεναι, καὶ τὸν ἅγιον
indeed visible to-that(-one) but accruing and the holy
Ὀρέστην ἐκκαρποῦσθαι, μέγα ἐτίθετο· ὡς καὶ τῶν ἡμιόνων
Orestes to-reap great he-held so-as even the mules
λαβέσθαι ποτὲ τοῦ ἀνδρὸς ἰδίαν ὁδὸν ὁδεύοντος, εἴργων
to-seize once of-the man (his)-own road traveling barring(-him)
τοῦ πρόσω μετὰ λῃστρικοῦ συντάγματος. Καὶ ἡ σκῆψις,
from-the forward with (a)-brigand band and the pretext
ὡς εὐπρεπής! Τὰ γὰρ πνευματικὰ τέκνα, καὶ αἱ ψυχαὶ, καὶ
how seemly the for spiritual children and the souls and
ὁ τῆς πίστεως λόγος, καὶ ταῦτα τὰ τῆς ἁπληστίας
the of-the faith doctrine and these the(-things) of-the greed
ἐπικαλύμματα, πρᾶγμα τῶν εὐπορίστων, καὶ τὸ μὴ χρῆναι
coverings (a)-thing of-the easily-procured and the not (it-is)-right
δασμοφορεῖν κακοδόξοις· πᾶς γὰρ ὁ λυπῶν, κακόδοξος.
to-pay-tribute to-heretics all for the(-one) annoying (is)-heretical
59 Οὐ μὴν ὁ ἅγιος τοῦ Θεοῦ, καὶ τῆς ἄνω Ἱερουσαλὴμ
not however the holy(-man) — of-God and of-the above Jerusalem
ὄντως μητροπολίτης, ἢ συναπήχθη τοῖς πταίουσιν,
truly metropolitan either was-carried-away-with the(-ones) stumbling

ἢ παριδεῖν ταῦτα ἠνέσχετο, ἢ μικρὰν τοῦ κακοῦ λύσιν
or to-overlook these(-things) endured or small of-the evil (a)-remedy
ἐπενόει. Ἀλλὰ σκοπῶμεν, ὡς μεγάλην καὶ θαυμασίαν, (καὶ
devised but let-us-consider how great and wonderful and
τί γάρ;) ἢ τῆς ἐκείνου ψυχῆς ἀξίαν. Προσθήκην γὰρ
what for than of-the his soul worthy (an)-increase for
τῆς Ἐκκλησίας ποιεῖται τὴν στάσιν, καὶ τὴν συμφοράν,
of-the Church he-makes the faction and the misfortune
ὡς κάλλιστα διατίθεται, πλείοσιν ἐπισκόποις τὴν πατρίδα
as finest disposes with-more bishops the fatherland
καταπυκνώσας. Ἐξ οὗ τί γίνεται; Τρία τὰ κάλλιστα·
having-packed from which what comes-about three the finest(-things)
ψυχῶν ἐπιμέλεια πλείων, καὶ τὸ πόλιν ἑκάστην τὰ ἑαυτῆς
of-souls care more and the city each the its-own(-things)
ἔχειν, καὶ τὸ λυθῆναι ταύτῃ τὸν πόλεμον. Ταύτης τῆς
to-have and the to-be-dissolved thus the war of-this the
ἐπινοίας δέδοικα, μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον. Ἢ οὐκ
plan I-fear lest also I-myself became (a)-by-product or not
οἶδ' ὅ τι καὶ εἰπεῖν εὐτρεπὲς χρή. Πάντα γὰρ τοῦ
I-know what — also to-say seemly (one)-must all(-things) for of-the
ἀνδρὸς θαυμάζων, οὐμενοῦν ὁπόσον εἰπεῖν δυνατὸν, ἓν τοῦτο
man admiring not as-much-as to-say (is)-possible one this
ἐπαινεῖν οὐκ ἔχω (καὶ γὰρ ὁμολογήσω τὸ πάθος), οὐδὲ
to-praise not I-can and for I-will-confess the feeling not-even
ἄλλως τοῖς πολλοῖς ἀγνοούμενον, τὴν περὶ ἡμᾶς καινοτομίαν
otherwise to-the many unknown the about us innovation
καὶ ἀπιστίαν, ἧς οὐδὲ ὁ χρόνος τὴν λύπην ἀνάλωσεν.
and faithlessness of-which not-even the time the grief has-consumed
Ἐκεῖθεν γάρ μοι πᾶσα συνέπεσεν ἡ περὶ τὸν βίον
from-there for to-me all befell the about the life
ἀνωμαλία καὶ σύγχυσις, καὶ τὸ φιλοσοφεῖν μὴ δυνηθῆναι, ἢ
irregularity and confusion and the to-philosophize not to-be-able or

μὴ νομίζεσθαι, εἰ καὶ βραχὺς τοῦ δευτέρου λόγος· πλὴν εἴ
not to-be-thought(-to) if even brief (is)-of-the second account unless —
τις ἐκεῖνο δέξαιτο, ἡμῶν τοῦ ἀνδρὸς ὑπεραπολογουμένων,
anyone that would-accept us for-the man defending
ὅτι μείζω φρονῶν, ἢ κατὰ τὰ ἀνθρώπινα, καὶ τῶν
that greater thinking than according-to the human(-things) and from-the(-things)
ἐνθένδε πρὶν ἀποβιῶναι μεταναστὰς, πάντα ἐποιεῖτο
here before to-die having-departed all(-things) he-made
τοῦ Πνεύματος· καὶ φιλίαν αἰδεῖσθαι εἰδὼς, ἐνταῦθα
(things)-of-the Spirit and friendship to-respect knowing here
μόνον ἠτίμαζεν, οὗ Θεὸν ἔδει προτιμηθῆναι, καὶ
only he-dishonored(-it) where God (it)-had to-be-preferred and
πλεῖον ἔχειν τῶν λυομένων τὰ ἐλπιζόμενα.
more to-have than-the (things)-dissolving the(-things) hoped-for
60 Δέδοικα μὲν οὖν, μὴ ῥᾳθυμίας ἔγκλημα φεύγων, παρὰ
I-fear indeed then lest of-negligence (the)-charge fleeing among
τοῖς τὰ ἐκείνου πάντα ἐπιζητοῦσιν, ἀπληστίας περιπέσω
the(-ones) the his all(-things) seeking of-greed I-may-fall-into
γραφῇ, παρὰ τοῖς ἐπαινοῦσι τὸ μέτριον, ὃ μηδὲ
(an)-indictment among the(-ones) praising the measured which not-even
ἐκεῖνος ἠτίμαζε, Τὸ πᾶν μέτρον ἄριστον, ἐν τοῖς
he dishonored the every measure (is)-best among the(-sayings)
μάλιστα ἐπαινῶν, καὶ παρὰ πάντα τὸν ἑαυτοῦ βίον
most praising and through all the his-own life
φυλάξας. Ὅμως δὲ ἀμφοτέρους περιφρονῶν, τούς τε λίαν
having-kept(-it) nevertheless but both despising the both very
συντόμους, καὶ τοὺς ἄγαν ἀπλήστους, ὡδί πως τῷ λόγῳ
concise and the very insatiable thus somehow the discourse
χρήσομαι. Ἄλλοι μὲν οὖν ἄλλο τι κατορθοῦσιν, οἱ
I-will-use others indeed then other something achieve the(-others)
δέ τινα τῶν τῆς ἀρετῆς εἰδῶν ὄντων πλειόνων· ἅπαντα δὲ
but some of-the of-the virtue forms being more all but

οὐδεὶς ἐπῆλθε πρὸς τὸ ἀκρότατον, οὔκουν τῶν νῦν ἡμῖν
no-one has-gone-through to the highest not-then of-the now to-us
γινωσκομένων· ἀλλ᾽ οὗτος ἄριστος ἡμῖν, ὃς ἂν τὰ πλείω
known but this(-one) (is)-best to-us who — the more
τυγχάνῃ κατωρθωκὼς, ἢ ἓν ὅτι μάλιστα. Ὁ δὲ οὕτω διὰ
happens having-achieved or one as most(-possible) he but so through
πάντων ἀφίκετο, ὡς εἶναι φιλοτιμία τις φύσεως. Σκοπῶμεν
all arrived as to-be (a)-munificence some of-nature let-us-consider
δὲ οὕτως· Ἀκτησίαν τίς ἐπαινεῖ, καὶ βίον ἄσκευον, καὶ
but thus poverty who praises and life unfurnished and
ἀπέριττον; Ἐκείνῳ δὲ, τί ποτε ἦν, πλὴν τοῦ σώματος,
unsuperfluous to-him but what ever was except the body
καὶ τῶν ἀναγκαίων τῆς σαρκὸς καλυμμάτων; Πλοῦτος δὲ,
and the necessary of-the flesh coverings wealth but
τὸ μηδὲν ἔχειν, καὶ ὁ σταυρὸς, ᾧ συνέζη μόνῳ,
(was)-the nothing to-have and the cross with-which he-lived-with alone
ὃν πολλῶν χρημάτων ἐνόμιζεν ἑαυτῷ τιμιώτερον. Ἅπαντα
which than-much money he-thought for-himself more-precious all
μὲν γὰρ οὐδ᾽ ἂν, εἰ βούλοιτό τις, δυνατὸν εἶναι κτήσασθαι·
indeed for not-even — if should-wish one possible to-be to-acquire
πάντων δὲ εἰδέναι καταφρονεῖν, καὶ οὕτω κρείττω τῶν
of-all but to-know to-despise and so superior than-the
πάντων φαίνεσθαι. Οὕτω δὲ διανοηθεὶς, καὶ οὕτως ἔχων,
all to-appear so but having-thought and so being
βωμοῦ μὲν οὐκ ἐδεήθη, καὶ τῆς κενῆς δόξης, οὐδὲ δημοσίου
of-(an)-altar indeed not he-needed and of-the empty glory nor of-public
κηρύγματος τοῦ, Κράτης Κράτητα Θηβαῖον ἐλευθεροῖ. Εἶναι
proclamation the(-one) Crates Crates (the)-Theban frees to-be
γὰρ, οὐ δοκεῖν, ἐσπούδαζεν ἄριστος. Οὐδὲ πίθον ᾤκει
for not to-seem he-was-zealous best nor (a)-jar he-inhabited
καὶ μέσην τὴν ἀγορὰν, ὥστε πᾶσι παρατρυφᾷν,
and (the)-middle-of the marketplace so-as at-everyone to-revel

καινὴν εὐπορίαν τὸ ἀπορεῖν ποιούμενος· ἀφιλότιμος δὲ
new wealth the to-be-poor making unambitious but
πένης ἦν καὶ ἀνήροτος· καὶ πάντων ἐκβολὴν στέρξας,
poor he-was and unplowed and of-all (the)-casting-out having-loved
ὧν ποτε εἶχε, κούφως διέπλει τὴν τοῦ βίου θάλασσαν.
which ever he-had lightly he-sailed-through the of-the life sea
61 Θαυμαστὸν ἡ ἐγκράτεια, καὶ ὀλιγάρκεια, καὶ τὸ
wonderful (is)-the self-control and contentment and the
μὴ κρατεῖσθαι τῶν ἡδονῶν, μηδ', ὡς ὑπὸ πικρᾶς καὶ
not to-be-mastered by-the pleasures nor as by (a)-bitter and
ἀνελευθέρου δεσποίνης, τῆς γαστρὸς ἄγεσθαι. Τίς οὕτω
slavish mistress the belly to-be-led who so
μᾶλλον ἄτροφος ἦν, οὐ πολὺ δὲ εἰπεῖν, καὶ ἄσαρκος; Τὰς
more without-food was not much and (it-is)-to-say and fleshless the
μὲν γὰρ πλησμονὰς καὶ τοὺς κόρους τοῖς ἀλογωτέροις
indeed for surfeits and the satieties to-the more-irrational(-men)
ἀπέῤῥιψε, καὶ ὧν ἀνδραποδώδης καὶ κάτω νενευκὼς
he-threw-aside and (those)-of-whom slavish and down bent
ὁ βίος. Αὐτὸς δὲ οὐδὲν ᾔδει μέγα τῶν μετὰ τὸν
(is)-the life he but nothing knew great of-the(-things) after the
λαιμὸν ὁμοτίμων, ἀλλὰ τοῖς ἀναγκαίοις διέζη μόνον, ἕως
gullet equal-in-honor but by-the necessities he-lived only as-long-as
ἐξῆν, καὶ μόνην ᾔδει τρυφὴν, τὸ μὴ τρυφῶν φαίνεσθαι,
it-was-possible and only knew (a)-luxury the not luxuriating to-appear
μηδὲ διὰ τοῦτο δεῖσθαι πλειόνων· ἀλλὰ πρὸς τὰ κρίνα
nor because-of this to-need more but to the lilies
βλέπειν καὶ τὰ πτηνὰ, οἷς ἄτεχνον τὸ κάλλος, καὶ
to-look and the birds for-which artless (is)-the beauty and
σχέδιος ἡ τροφὴ, κατὰ τὴν μεγάλην παραίνεσιν τοῦ ἐμοῦ
improvised the food according-to the great exhortation of-the my
Χριστοῦ, καὶ σάρκα δι' ἡμᾶς πτωχεύσαντος, ἵν' ἡμεῖς
Christ and in-flesh because-of us having-become-poor so-that we

πλουτισθῶμεν θεότητα. Ἐνθεῦθεν αὐτῷ τὸ ἓν χιτώνιον,
may-be-enriched (with)-godhead from-here to-him the one tunic
καὶ τριβώνιον, καὶ ἡ χαμευνία, καὶ ἡ ἀγρυπνία, καὶ
and cloak and the sleeping-on-the-ground and the vigil and
ἡ ἀλουσία, τὰ ἐκείνου σεμνολογήματα, καὶ τὸ ἥδιστον
the unwashedness the his pride-points and the sweetest
δεῖπνον καὶ ὄψον, ὁ ἄρτος καὶ οἱ ἅλες, ἡ καινὴ καρυκεία,
dinner and relish the bread and the salt the new seasoning
καὶ ποτὸν νηφάλιόν τε καὶ ἄφθονον, ὃ γεωργοῦσι
and drink sober both and abundant which cultivate
πηγαὶ μηδὲν πονουμένοις. Ἐξ ὧν, ἢ μεθ' ὧν νοσοκομίαι
springs not-at-all (for-those)-toiling from which or with which care-of-the-sick
καὶ ἰατρεῖαι, τὸ κοινὸν ἡμῶν ἐμφιλοσόφημα. Ἔδει γάρ
and healings the common our philosophic-exercise (it)-had for
με τῶν ἀνιαρῶν τὸ ἴσον ἔχειν, τοῖς ἄλλοις λειπόμενον.
me of-the griefs the equal to-have to-the others falling-short
Μέγα παρθενία, καὶ ἀζυγία, καὶ τὸ μετ' ἀγγέλων τετάχθαι, 62
great (is)-virginity and celibacy and the with angels to-be-ranked
καὶ τῆς μοναδικῆς φύσεως· ὀκνῶ γὰρ εἰπεῖν Χριστοῦ,
and (with)-the single nature I-shrink for to-say of-Christ
ὃς, καὶ γεννηθῆναι θελήσας διὰ τοὺς γεννητοὺς ἡμᾶς,
who also to-be-born having-willed because-of the born(-ones) us
ἐκ Παρθένου γεννᾶται, παρθενίαν νομοθετῶν, ὡς ἐνθένδε
from (the)-Virgin is-born virginity legislating as from-here
μετάγουσαν, καὶ κόσμον συντέμνουσαν, μᾶλλον δὲ κόσμον
transferring and (the)-world cutting-short rather but (the)-world
κόσμῳ παραπέμπουσαν, τὸν ἐνεστῶτα τῷ μέλλοντι.
to-(the)-world sending-on the present to-the future
Τίς οὖν ἐκείνου μᾶλλον, ἢ παρθενίαν ἐτίμησεν, ἢ σαρκὶ
who then than-him more either virginity honored or to-flesh
ἐνομοθέτησεν, οὐ τῷ καθ' ἑαυτὸν ὑποδείγματι μόνον,
legislated not by-the of himself example only

ἀλλὰ καὶ οἷς ἐσπούδασε; Τίνος οἱ παρθενῶνες, καὶ
but also by-what he-pursued whose (are)-the virgins'-houses and
τὰ ἔγγραφα διατάγματα, οἷς πᾶσαν μὲν αἴσθησιν
the written ordinances by-which every indeed sense
ἐσωφρόνιζε, πᾶν δὲ μέλος ἐρύθμιζε, καὶ ὄντως παρθενεύειν
he-chastened every and limb he-ordered and truly to-be-virgin
ἔπειθεν, εἴσω τὰ κάλλη στρέφων ἀπὸ τῶν ὁρωμένων
he-persuaded inward the beauties turning from the(-things) seen
ἐπὶ τὰ μὴ βλεπόμενα· καὶ τὸ μὲν ἔξωθεν
to the(-things) not seen and the(-beauty) indeed outside
ἀπομαραίνων, καὶ τὴν ὕλην ὑποσπῶν τῆς φλογὸς, τὸ
withering and the fuel withdrawing of-the flame the(-beauty)
δὲ κρυπτὸν τῷ Θεῷ δεικνὺς, ὃς μόνος τῶν καθαρῶν ψυχῶν
but hidden — to-God showing who alone of-the pure souls
ἐστι νυμφίος, καὶ τὰς ἀγρύπνους ἑαυτῷ συνεισάγει ψυχὰς,
is bridegroom and the wakeful to-himself brings-in souls
ἐὰν μετὰ λαμπρῶν τῶν λαμπάδων αὐτῷ, καὶ δαψιλοῦς τῆς
if with bright the lamps him and abundant the
τοῦ ἐλαίου τροφῆς ἀπαντήσωσιν; Τοῦ τοίνυν ἐρημικοῦ βίου,
of-the oil supply they-meet of-the therefore solitary life
καὶ τοῦ μιγάδος, μαχομένων πρὸς ἀλλήλους ὡς τὰ πολλὰ,
and of-the mixed fighting against one-another as the most(-part)
καὶ διισταμένων, καὶ οὐδετέρου πάντως ἢ τὸ καλὸν, ἢ
and differing and of-neither wholly either the good or
τὸ φαῦλον ἀνεπίμικτον ἔχοντος· ἀλλὰ τοῦ μὲν, ἡσυχίου
the bad unmixed having but the(-one) indeed quiet
μὲν ὄντος μᾶλλον, καὶ καθεστηκότος, καὶ Θεῷ συνάγοντος,
indeed being rather and settled and to-God bringing-together
οὐκ ἀτύφου δὲ, διὰ τὸ τῆς ἀρετῆς ἀβασάνιστον καὶ
not unpuffed but because-of the of-the virtue untested and
ἀσύγκριτον· τοῦ δὲ, πρακτικωτέρου μὲν μᾶλλον
uncompared(-quality) the(-other) and more-practical indeed rather

καὶ χρησιμωτέρου, τὸ δὲ θορυβῶδες οὐ φεύγοντος, καὶ
and more-useful the but turbulent not fleeing also
τούτους ἄριστα κατήλλαξεν ἀλλήλοις καὶ συνεκέρασεν·
these best be-reconciled to-one-another and blended
ἀσκητήρια καὶ μοναστήρια δειμάμενος μὲν, οὐ πόῤῥω δὲ
ascetic-houses and monasteries having-built indeed not far but
τῶν κοινωνικῶν καὶ μιγάδων, οὐδὲ, ὥσπερ τειχίῳ τινὶ
from-the communal and mixed(-ones) nor as by-(a)-wall some
μέσῳ, ταῦτα διαλαβὼν καὶ ἀπ᾽ ἀλλήλων χωρίσας, ἀλλὰ
between these separating and from one-another dividing but
πλησίον συνάψας καὶ διαζεύξας· ἵνα μήτε τὸ φιλόσοφον
near joining and disjoining so-that neither the philosophic
ἀκοινώνητον ᾖ, μήτε τὸ πρακτικὸν ἀφιλόσοφον· ὥσπερ
unsocial be nor the practical unphilosophic as
δὲ γῆ καὶ θάλασσα, τὰ παρ᾽ ἑαυτῶν ἀλλήλοις
but earth and sea the(-things) from themselves to-one-another
ἀντιδιδόντες, εἰς μίαν δόξαν Θεοῦ συντρέχωσι.
exchanging to one glory of-God may-run-together

Τί ἔτι; Καλὸν φιλανθρωπία, καὶ πτωχοτροφία, καὶ τὸ τῆς 63
what more fine (is)-love-of-man and feeding-the-poor and the of-the
ἀνθρωπίνης ἀσθενείας βοήθημα. Μικρὸν ἀπὸ τῆς πόλεως
human weakness help (a)-little from the city
πρόελθε, καὶ θέασαι τὴν καινὴν πόλιν, τὸ τῆς εὐσεβείας
go-forth and behold the new city the of-the piety
ταμεῖον, τὸ κοινὸν τῶν ἐχόντων θησαύρισμα, εἰς ὃ
storehouse the common of-the(-ones) having treasury into which
τὰ περιττὰ τοῦ πλούτου, ἤδη δὲ καὶ τὰ ἀναγκαῖα ταῖς
the superfluities of-the wealth already and also the necessities by-the
ἐκείνου παραινέσεσιν ἀποτίθεται, σῆτας ἀποσειόμενα, καὶ
his exhortations are-laid-up moths shaking-off and
κλέπτας οὐκ εὐφραίνοντα, καὶ φθόνου πάλην, καὶ καιροῦ
thieves not gladdening and of-envy wrestling and of-time

φθορὰν διαφεύγοντα· ἐν ᾧ νόσος φιλοσοφεῖται, καὶ
decay escaping in which disease is-borne-philosophically and
συμφορὰ μακαρίζεται, καὶ τὸ συμπαθὲς δοκιμάζεται. Τί
misfortune is-called-blessed and the sympathy is-tested what
μοι πρὸς τοῦτο τὸ ἔργον, ἑπτάπυλοι Θῆβαι, καὶ
to-me compared-with this the work (is)-seven-gated Thebes and
Αἰγύπτιαι, καὶ τείχη Βαβυλώνια, καὶ Μαυσόλου Καρικὸς
Egyptian(-ones) and walls Babylonian and of-Mausolus Carian
τάφος, καὶ Πυραμίδες, καὶ Κολοσσοῦ χαλκὸς ἄμετρος, ἢ
tomb and Pyramids and of-(the)-Colossus bronze measureless or
ναῶν μεγέθη καὶ κάλλη τῶν μηκέτι ὄντων, ἄλλα
of-temples sizes and beauties of-the(-ones) no-longer being other(-things)
τε ὅσα θαυμάζουσιν ἄνθρωποι, καὶ ἱστορίαις διδόασιν·
both as-many-as admire men and to-histories give
ὧν οὐδὲν τοὺς ἐγείραντας, πλὴν δόξης ὀλίγης
of-which nothing the(-ones) having-raised(-them) except (in)-glory little
ὤνησεν; Ἐμοὶ δὲ θαυμασιώτατον, ἡ σύντομος τῆς
profited to-me but most-wonderful (is)-the short of-the
σωτηρίας ὁδὸς, ἡ ῥᾴστη πρὸς οὐρανὸν ἀνάβασις. Οὐκ ἔτι
salvation road the easiest to heaven ascent no longer
πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα δεινὸν καὶ ἐλεεινὸν,
is-set-before to-the eyes our (a)-sight terrible and pitiable
ἄνθρωποι νεκροὶ πρὸ θανάτου, καὶ τετελευτηκότες τοῖς
men dead before death and having-died in-the
πλείστοις τοῦ σώματος μέλεσιν, ἀπελαυνόμενοι πόλεων,
most of-the body limbs driven-from cities
οἰκιῶν, ἀγορῶν, ὑδάτων, αὐτῶν τῶν φιλτάτων, ὀνόμασι
houses marketplaces waters their-very of-the dearest by-names
μᾶλλον, ἢ σώμασι γνωριζόμενοι· οὐδὲ προτίθενται συνόδοις
rather than by-bodies recognized nor are-set-before assemblies
τε καὶ συλλόγοις κατὰ συζυγίαν τε καὶ συναυλίαν, μηκέτ'
both and gatherings in pairs both and in-company no-longer

ἐλεούμενοι διὰ τὴν νόσον, ἀλλὰ μισούμενοι· σοφισταὶ
pitied because-of the disease but hated composers
μελῶν ἐλεεινῶν, εἴ τισι καὶ φωνὴ λείπεται. Τί ἂν
of-songs pitiable if (in)-some even voice remains why —
ἅπαντα ἐκτραγῳδοίην τὰ ἡμέτερα, οὐκ ἀρκοῦντος τοῦ
all should-I-dramatize the our(-affairs) not sufficing the
λόγου τῷ πάθει; Ἀλλ' ἐκεῖνός γε μάλιστα πάντων
discourse to-the suffering but he at-least most of-all
ἔπεισεν, ἀνθρώπους ὄντας, ἀνθρώπων μὴ καταφρονεῖν,
persuaded men being men not to-despise
μηδ' ἀτιμάζειν Χριστὸν τὴν μίαν πάντων κεφαλὴν διὰ
nor to-dishonor Christ the one of-all head through
τῆς εἰς ἐκείνους ἀπανθρωπίας· ἀλλ' ἐν ταῖς ἀλλοτρίαις
the toward them inhumanity but in the others'
συμφοραῖς, τὰ οἰκεῖα εὖ τίθεσθαι, καὶ δανείζειν Θεῷ τὸν
misfortunes the own(-affairs) well to-place and to-lend to-God the
ἔλεον, ἐλέου χρῄζοντας. Διὰ τοῦτο, οὐδὲ τοῖς χείλεσιν
mercy of-mercy needing because-of this not-even with-the lips
ἀπηξίου τιμᾶν τὴν νόσον, ὁ εὐγενής τε καὶ τῶν εὖ
he-disdained to-honor the disease the(-one) noble both and of-the well
γεγονότων, καὶ τὴν δόξαν ὑπέρλαμπρος, ἀλλ' ὡς ἀδελφοὺς
born and in-the glory most-brilliant but as brothers
ἠσπάζετο, οὐχ ὅπερ ἄν τις ὑπολάβοι κενοδοξῶν, (τίς γὰρ
he-embraced(-them) not as — one might-suppose seeking-vainglory who for
τοσοῦτον ἀπεῖχε τοῦ πάθους;) ἀλλὰ τὸ προσιέναι τοῖς
so-much was-far from-the feeling but the to-approach the
σώμασιν ἐπὶ θεραπείᾳ διὰ τῆς ἑαυτοῦ φιλοσοφίας τυπῶν,
bodies for (the)-care through the his-own philosophy shaping
καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις. Καὶ οὐχ ἡ μὲν
both speaking and silent exhortation and not the indeed
πόλις οὕτως, ἡ χώρα δὲ καὶ τὰ ἐκτὸς, ἑτέρως· ἀλλὰ
city (was)-so the countryside but and the(-parts) outside otherwise but

κοινὸν ἅπασιν ἀγῶνα προὔθηκε τοῖς τῷ λαῷ προεστῶσι,
(a)-common for-all contest he-set-before to-the of-the people leaders
τὴν εἰς αὐτοὺς φιλανθρωπίαν, καὶ μεγαλοψυχίαν. Καὶ
the toward them humanity and magnanimity and
ἄλλων μὲν οἱ ὀψοποιοὶ, καὶ αἱ λιπαραὶ τράπεζαι,
of-others indeed (are)-the cooks and the rich tables
καὶ τὰ μαγείρων μαγγανεύματα καὶ κομψεύματα, καὶ οἱ
and the of-cooks contrivances and refinements and the
φιλόκαλοι δίφροι, καὶ τῆς ἐσθῆτος ὅση μαλακή τε
elegant carriages and of-the clothing as-much-as (is)-soft both
καὶ περιῤῥέουσα· Βασιλείου δὲ, οἱ νοσοῦντες, καὶ
and flowing-around of-Basil but (are)-the(-ones) sick and
τὰ τῶν τραυμάτων ἄκη, καὶ ἡ Χριστοῦ μίμησις,
the(-things) of-the wounds remedies and the of-Christ imitation
οὐ λόγῳ μὲν, ἔργῳ δὲ λέπραν καθαίροντος.
not by-word indeed by-deed but leprosy cleansing

64 Πρὸς ταῦτα, τί φήσουσιν ἡμῖν οἱ τὸν τῦφον
to these(-things) what will-say to-us the(-ones) the pride
ἐγκαλοῦντες ἐκείνῳ καὶ τὴν ὀφρὺν, οἱ πικροὶ τῶν
charging-against him and the brow the bitter of-the
τηλικούτων κριταὶ, καὶ τῷ κανόνι τοὺς οὐ κανόνας
so-great judges and to-the rule the not rules
προσάγοντες; Ἔστι λεπροὺς μὲν ἀσπάζεσθαι, καὶ
applying is-it(-possible) lepers indeed to-embrace and
μέχρι τούτου συνταπεινοῦσθαι, τῶν δὲ ὑγιαινόντων
to this to-humble-oneself the(-ones) but healthy
κατοφρυᾶσθαι; Καὶ τήκειν μὲν τὰς σάρκας δι᾽
to-look-down-on and to-melt indeed the flesh through
ἐγκρατείας, τὴν ψυχὴν δὲ οἰδαίνειν κενῷ φρυάγματι;
self-control the soul but to-swell with-empty snorting
Καὶ τοῦ μὲν Φαρισαίου καταγινώσκειν, καὶ διηγεῖσθαι
and the indeed Pharisee to-condemn and to-relate

τὴν ἐξ ὄγκου ταπείνωσιν, καὶ Χριστὸν εἰδέναι μέχρι
the from swelling humbling and Christ to-know to
δούλου μορφῆς κατελθόντα, καὶ τελώναις συνέσθοντα,
(a)-slave's form having-come-down and with-tax-collectors eating
καὶ νίπτοντα τοὺς πόδας τῶν μαθητῶν, καὶ σταυρὸν οὐκ
and washing the feet of-the disciples and (the)-cross not
ἀπαξιοῦντα, ἵνα προσηλώσῃ τὴν ἐμὴν ἁμαρτίαν (καίτοι
disdaining so-that he-might-nail the my sin and-yet
τί τούτου παραδοξότερον, Θεὸν σταυρούμενον βλέπειν, καὶ
what than-this more-paradoxical God crucified to-see and
τοῦτον μετὰ λῃστῶν, καὶ ὑπὸ τῶν παριόντων γελώμενον,
this with robbers and by the(-ones) passing-by laughed-at
τὸν ἀνάλωτον, καὶ τοῦ παθεῖν ὑψηλότερον)· αὐτὸν
the(-one) unassailable and than-the to-suffer higher himself
δὲ ὑπερνεφεῖν, καὶ μηδὲν γινώσκειν ὁμότιμον, ὃ δοκεῖ
but to-be-above-the-clouds and nothing to-know equal-in-honor as seems
τοῖς ἐκείνῳ βασκαίνουσιν; Ἀλλ' οἶμαι τὸ τοῦ ἤθους
to-the(-ones) him envying but I-think the of-the character
εὐσταθὲς, καὶ βεβηκὸς, καὶ ἀπεξεσμένον, τῦφον ὠνόμασαν.
steadiness and firmness and polish pride they-named
Οἱ δ' αὐτοί μοι δοκοῦσι ῥᾳδίως ἂν καὶ τὸν ἀνδρεῖον
the(-men) and same to-me seem easily — also the brave(-man)
καλέσαι θρασὺν, καὶ δειλὸν τὸν περιεσκεμμένον, καὶ τὸν
to-call rash and cowardly the circumspect(-man) and the
σώφρονα μισάνθρωπον, καὶ τὸν δίκαιον ἀκοινώνητον.
temperate misanthropic and the just unsociable
Καὶ γὰρ οὐ φαύλως τοῦτό τινες πεφιλοσοφήκασιν· Ὅτι
and for not badly this some have-philosophized that
παραπεπήγασι ταῖς ἀρεταῖς αἱ κακίαι, καὶ εἰσί πως
are-fixed-beside the virtues the vices and are somehow
ἀγχίθυροι· καὶ ῥᾷστον, ἄλλο τι ὄντα ἕτερον νομισθῆναι
next-door and easiest other something being another to-be-thought

τοῖς μὴ τὰ τοιαῦτα πεπαιδευμένοις. Τίς γὰρ ἐκείνου
by-the(-ones) not in-the such(-things) trained who for than-him
μᾶλλον ἢ ἀρετὴν ἐτίμησεν, ἢ κακίαν ἐκόλασεν, ἢ χρηστὸς
more either virtue honored or vice punished or kind
ὤφθη τοῖς κατορθοῦσιν, ἢ τοῖς ἁμαρτάνουσιν
appeared to-the(-ones) doing-right or to-the(-ones) sinning
ἐμβριθής· οὗ καὶ τὸ μειδίαμα πολλάκις ἔπαινος ἦν,
severe of-whom even the smile often praise was
καὶ τὸ σιωπᾷν ἐπιτίμησις, οἰκείῳ συνειδότι τὸ κακὸν
and the to-be-silent (a)-rebuke by-the-own conscience the evil
βασανίζουσα; Εἰ δὲ μὴ στωμύλος τις ἦν, μηδὲ
testing if but not (a)-babbler some(-kind) he-was nor
γελοιαστὴς, καὶ ἀγοραῖος, μηδὲ τοῖς πολλοῖς
(a)-jester and frequenter-of-the-marketplace nor the many
ἀρέσκων, ἐκ τοῦ πᾶσι πάντα γίνεσθαι, καὶ χαρίζεσθαι,
pleasing from the to-all all(-things) to-become and to-gratify
τί τοῦτο; Οὐκ ἐπαινετέος μᾶλλον ἢ μεμπτέος, τοῖς
what (is)-this not praiseworthy rather than blameworthy to-the(-ones)
γε νοῦν ἔχουσιν; Εἰ μὴ καὶ τὸν λέοντα αἰτιῷτό τις,
at-least sense having if not also the lion should-blame one
ὅτι μὴ πιθήκειον βλέπει, ἀλλὰ βλοσυρὸν καὶ βασιλικὸν,
that not ape-like he-looks but grim and royal
οὗ καὶ τὰ σκιρτήματα γενναῖα, καὶ μετὰ θαύματος
of-whom even the leaps (are)-noble and with wonder
ἀγαπώμενα· καὶ τοὺς ἐπὶ τῆς σκηνῆς θαυμάζοι, ὡς ἡδεῖς
loved and the(-ones) on the stage should-admire as pleasant
τε καὶ φιλανθρώπους, ὅτι τοῖς δήμοις χαρίζονται, καὶ
both and humane that to-the crowds they-gratify and
κινοῦσι γέλωτα τοῖς ἐπὶ κόῤῥης ῥαπίσμασι καὶ ψοφήμασι.
move laughter by-the on (the)-cheek slaps and smacks
Καίτοι κἂν εἰ τοῦτο ζητοίημεν, τίς μὲν οὕτως ἡδὺς
and-yet even if this we-should-seek who indeed so pleasant

ἐν ταῖς συνουσίαις, ὅσα ἐμὲ γινώσκειν τὸν μάλιστα
in the company as-far-as I know the(-one) most
ἐκείνου πεπειραμένον; τίς διηγήσασθαι χαριέστερος; τίς
him having-experienced who to-tell-stories more-graceful who
μὲν σκῶψαι παιδευτικῶς; τίς δὲ καθάψασθαι ἁπαλῶς;
indeed to-jest instructively who and to-reprove gently
Καὶ μήτε τὴν ἐπιτίμησιν θράσος ποιῆσαι, μήτε τὴν ἄνεσιν
and neither the rebuke boldness to-make nor the relaxation
ἔκλυσιν, ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν φυγεῖν, ἀμφοτέροις
slackness but of-both the excess to-flee both
σὺν λόγῳ καὶ καιρῷ χρώμενον, κατὰ τοὺς Σολομῶντος
with reason and occasion using according-to the of-Solomon
νόμους, παντὶ πράγματι καιρὸν διατάξαντος.
laws for-every matter (a)-season having-appointed
Ἀλλὰ τί ταῦτα πρὸς τὴν ἐν λόγοις τοῦ 65
but what (are)-these(-things) compared-with the in discourses of-the
ἀνδρὸς ἀρετὴν, καὶ τὸ τῆς διδασκαλίας κράτος τὰ
man virtue and the of-the teaching power the
πέρατα οἰκειούμενον; Ἔτι περὶ τοὺς πρόποδας τοῦ ὄρους
ends making-its-own still about the foothills of-the mountain
στρεφόμεθα, τῆς ἄκρας ἀπολειπόμενοι. Ἔτι πορθμὸν
we-turn from-the summit falling-short still (a)-strait
διαπερῶμεν, ἀφέντες τὸ μέγα καὶ βαθὺ πέλαγος. Οἶμαι γὰρ,
we-cross having-left the great and deep sea I-think for
εἴ τις ἐγένετο, ἢ γενήσεται σάλπιγξ ἐπὶ πολὺ τοῦ ἀέρος
if any there-was or will-be (a)-trumpet over much of-the air
φθάνουσα, ἢ Θεοῦ φωνὴ τὸν κόσμον περιλαμβάνουσα, ἢ
reaching or of-God (a)-voice the world encompassing or
σεισμὸς οἰκουμένης ἔκ τινος καινοτομίας καὶ θαύματος,
(an)-earthquake of-(the)-world from some innovation and wonder
ταῦτα εἶναι τὴν ἐκείνου φωνὴν καὶ διάνοιαν, τοσοῦτον
these to-be the his voice and mind so-much

ἅπαντας ἀπολείπουσαν καὶ κάτω τιθεῖσαν, ὅσον τὴν
all leaving-behind and below placing as-much-as the
τῶν ἀλόγων φύσιν ἡμεῖς. Τίς μὲν ἑαυτὸν ἐκάθηρε μᾶλλον
of-the irrational nature we who indeed himself cleansed more
τῷ Πνεύματι, καὶ ἄξιον τοῦ διηγεῖσθαι τὰ θεῖα
by-the Spirit and worthy of-the to-relate the divine(-things)
παρεσκεύασε; τίς δὲ μᾶλλον ἐφωτίσθη φῶς γνώσεως,
prepared who and more was-illumined (with-the)-light of-knowledge
καὶ διέκυψεν εἰς τὰ βάθη τοῦ Πνεύματος, καὶ μετὰ Θεοῦ
and peered into the depths of-the Spirit and with God
τὰ περὶ Θεοῦ διεσκέψατο; τίς δὲ λόγον ἔσχεν ἀμείνω
the(-things) about God examined who and speech had better
τῶν νοηθέντων ἑρμηνευτὴν, ὡς μηδ' ἑτέρῳ
(as)-of-the(-things) conceived interpreter so-that not-even in-one(-way)
σκάζειν, κατὰ τοὺς πολλοὺς, ἢ νῷ λόγον οὐκ ἔχοντι,
to-limp like the many either with-mind speech not having
ἢ λόγῳ μὴ κατὰ νοῦν βεβηκότι· ἀλλ' ἀμφοτέρωθεν
or with-speech not according-to mind stepping but on-both-sides
ὁμοίως εὐδοκιμεῖν, καὶ αὐτὸν ἴσον ἑαυτῷ φαίνεσθαι, καὶ
equally to-win-renown and himself equal to-himself to-appear and
ὄντως ἄρτιον. Πάντα μὲν ἐρευνᾷν, καὶ τὰ βάθη τοῦ
truly sound all(-things) indeed to-search and the depths —
Θεοῦ, τῷ Πνεύματι μεμαρτύρηται, οὐχ ὡς ἀγνοοῦντι,
of-God to-the Spirit is-attested not as ignorant
ἀλλ' ὡς ἐντρυφῶντι τῇ θεωρίᾳ. Πάντα δὲ ἐκείνῳ
but as delighting in-the contemplation all(-things) and by-him
διηρεύνηται τὰ τοῦ Πνεύματος, ἐξ ὧν ἦθος ἅπαν
have-been-searched the(-things) of-the Spirit from which character every
ἐπαίδευσε, καὶ ὑψηγορίαν ἐδίδαξε, καὶ τῶν παρόντων
he-educated and lofty-speech he-taught and from-the present
ἀπανέστησε, καὶ πρὸς τὰ μέλλοντα μετεσκεύασεν.
removed and to the(-things) to-come transformed

Ἡλίου μὲν ἐπαινεῖται παρὰ τῷ Δαβὶδ κάλλος, καὶ 66
of-the-sun indeed is-praised by — David (the)-beauty and
μέγεθος, καὶ δρόμου τάχος, καὶ δύναμις· λάμποντος
size and of-(the)-course (the)-speed and power shining
ὡς νυμφίου, εὐμεγέθους ὡς γίγαντος, οὗ καὶ τὸ πολὺ
as (a)-bridegroom great as (a)-giant of-whom also the much
διαβαίνειν, ἔχει δύναμιν τοσοῦτον, ὡς ἀπ᾽ ἄκρων τὰ ἄκρα
to-traverse has power so-much as from ends the ends
ἰσοτίμως καταφωτίζειν, καὶ μηδὲν ἐλαττοῦσθαι τὴν θερμὴν
equally to-illumine and in-nothing to-be-lessened the heat
τοῖς διαστήμασι. Τοῦ δὲ κάλλος μὲν, ἡ ἀρετή· μέγεθος
by-the distances of-him and (the)-beauty indeed (is)-the virtue (the)-size
δὲ, ἡ θεολογία· δρόμος δὲ, τὸ ἀεικίνητον, καὶ μέχρι Θεοῦ
and the theology (the)-course and the ever-moving and to God
φέρον ταῖς ἀναβάσεσι, δύναμις δὲ, ἡ τοῦ λόγου σπορὰ καὶ
carrying by-the ascents (the)-power and the of-the word sowing and
διάδοσις. Ὥστε ἔμοιγε, οὐδὲ τοῦτο εἰπεῖν ὀκνητέον,
distribution so-that for-me not-even this to-say (is)-to-be-shrunk-from
τὸ εἰς πᾶσαν τὴν γῆν ἐξελθεῖν τὸν φθόγγον αὐτοῦ, καὶ
the into all the earth to-have-gone-out the voice his and
εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν ῥημάτων τὴν δύναμιν·
to the ends of-the world of-the words the power
ὃ περὶ τῶν ἀποστόλων ὁ Παῦλος ἔφησε, παρὰ Δαβὶδ
which about the apostles — Paul said from David
ἐκδεξάμενος. Τίς μὲν ἄλλη συλλόγου σήμερον χάρις;
having-taken(-it) what indeed other of-(a)-gathering today (is-the)-grace
Τίς δὲ συμποσίων ἡδονή; Τίς δὲ ἀγορῶν; Τίς δὲ
what and of-banquets (the)-pleasure what and of-marketplaces what and
ἐκκλησιῶν; Τίς τῶν ἐν τέλει, καὶ τῶν μετ᾽ ἐκείνους
of-churches what of-the(-ones) in office and of-the(-ones) after them
τρυφή; Τίς μοναστῶν, ἢ μιγάδων; Τίς τῶν
(the)-delight what of-monks or of-(those)-in-the-world what of-the(-ones)

ἀπραγμόνων, ἢ τῶν ἐν πράγματι; Τίς τῶν τὰ
without-affairs or of-the(-ones) in affairs what of-the(-ones) the
ἔξωθεν φιλοσοφούντων, ἢ τὰ ἡμέτερα; Μία, καὶ διὰ
outside(-wisdom) philosophizing or the ours one both through
πάντων, καὶ ἡ μεγίστη, τὰ ἐκείνου συγγράμματα καὶ
all and the greatest the his writings and
πονήματα. Οὐδὲ γραφεῦσιν εὐπορία τις ἄλλη μετ' ἐκεῖνον,
labors not-even for-writers abundance any other after him
ἢ τὰ ἐκείνου συγγράμματα. Σιωπᾶται τὰ παλαιὰ,
than the his writings are-silenced the old(-commentaries)
ὅσα τινὲς τοῖς θείοις λογίοις ἐνίδρωσαν· βοᾶται τὰ
as-many-as some on-the divine oracles sweated-over are-shouted the
νέα, καὶ οὗτος ἄριστος ἡμῖν ἐν λόγοις, ὃς ἂν τὰ
new(-ones) and this(-one) (is)-best to-us in discourses who — the
ἐκείνου μάλιστα τυγχάνῃ γινώσκων, καὶ διὰ γλώσσης
his most happens knowing and through tongue
φέρων, καὶ συνετίζων τὰς ἀκοάς· ἤρκεσε γὰρ εἷς
carrying and making-understanding the hearings sufficed for one
ἀντὶ πάντων τοῖς σπουδαιοτέροις εἰς παίδευσιν.
instead-of all for-the more-earnest for education

67 Ἐγὼ τοῦτο μόνον αὐτοῦ διηγήσομαι· Ὅταν τὴν Ἑξαήμερον
I this only of-him will-relate when the Hexaemeron
αὐτοῦ μεταχειρίζωμαι, καὶ διὰ γλώσσης φέρω, μετὰ τοῦ
his I-take-in-hand and through tongue carry with the
κτίστου γίνομαι, καὶ γινώσκω κτίσεως λόγους, καὶ θαυμάζω
creator I-am and I-know of-creation (the)-reasons and I-admire
τὸν κτίστην πλέον ἢ πρότερον, ὄψει μόνῃ διδασκάλῳ
the creator more than before by-sight only (as)-teacher
χρώμενος. Ὅταν τοῖς ἀντιῤῥητικοῖς ἐντύχω λόγοις, τὸ
using when on-the polemical I-light words the
Σοδομιτικὸν ὁρῶ πῦρ, ᾧ τεφροῦνται γλῶσσαι πονηραὶ
Sodomite I-see fire by-which are-reduced-to-ashes tongues wicked

καὶ παράνομοι, ἢ τὸν Χαλάνης πύργον, κακῶς μὲν
and lawless or the of-Chalane tower badly indeed
οἰκοδομούμενον, καλῶς δὲ λυόμενον. Ὅταν τοῖς περὶ
built well but destroyed when on-the(-books) about
Πνεύματος, εὑρίσκω Θεὸν, ὃν ἔχω, καὶ παῤῥησιάζομαι
(the)-Spirit I-find God whom I-have and I-speak-boldly
τὴν ἀλήθειαν, ἐπιβατεύων τῆς ἐκείνου θεολογίας καὶ
the truth mounting the his theology and
θεωρίας. Ὅταν ταῖς ἄλλαις ἐξηγήσεσιν, ἃς τοῖς μικρὰ
contemplation when on-the other expositions which for-the(-ones) small
βλέπουσιν ἀναπτύσσει, τρισσῶς ἐν ταῖς στερῤῥαῖς ἑαυτοῦ
seeing he-unfolds threefold in the solid his-own
πλαξὶ τῆς καρδίας ἀπογραψάμενος, πείθομαι μὴ μέχρι
tablets of-the heart having-written-down I-am-persuaded not up-to
τοῦ γράμματος ἵστασθαι, μηδὲ βλέπειν τὰ ἄνω μόνον,
the letter to-stand nor to-see the(-things) above only
ἀλλὰ καὶ περαιτέρω διαβαίνειν, καὶ εἰς βάθος ἔτι χωρεῖν
but also further to-cross and into depth still to-go
ἐκ βάθους, ἄβυσσον ἀβύσσῳ προσκαλούμενος, καὶ φωτὶ
from depth abyss to-abyss calling and by-light
φῶς εὑρίσκων, μέχρις ἂν φθάσω πρὸς τὸ ἀκρότατον. Ὅταν
light finding until — I-reach to the highest when
ἀθλητῶν ἐγκωμίοις προσομιλήσω, περιφρονῶ τὸ σῶμα,
of-athletes with-(the)-encomiums I-converse I-despise the body
καὶ σύνειμι τοῖς ἐπαινουμένοις, καὶ πρὸς τὴν ἄθλησιν
and am-with the(-ones) praised and to the contest
διεγείρομαι. Ὅταν ἠθικοῖς λόγοις καὶ πρακτικοῖς, καθαίρομαι
am-roused when to-moral discourses and practical I-am-cleansed
ψυχὴν καὶ σῶμα, καὶ ναὸς Θεοῦ γίνομαι δεκτικὸς, καὶ
(in)-soul and body and (a)-temple of-God I-become receptive and
ὄργανον κρουόμενον Πνεύματι καὶ θείας ὑμνῳδὸν δόξης
(an)-instrument struck by-(the)-Spirit and of-divine (a)-hymner of-glory

τε καὶ δυνάμεως· τούτῳ μεθαρμόζομαι, καὶ ῥυθμίζομαι, καὶ
both and power by-this I-am-retuned and am-ordered and
ἄλλος ἐξ ἄλλου γίνομαι, τὴν θείαν ἀλλοίωσιν ἀλλοιούμενος.
another from another I-become the divine alteration being-altered
68 Ἐπεὶ δὲ θεολογίας ἐμνήσθην, καὶ τῆς περὶ τοῦτο τοῦ
since but of-theology I-made-mention and of-the about this of-the
ἀνδρὸς μάλιστα μεγαλοφωνίας, ἔτι κἀκεῖνο προσθήσω
man most grandeur-of-speech still and-that I-will-add
τοῖς εἰρημένοις. Χρησιμώτατον γὰρ τοῖς πολλοῖς, τοῦ
to-the(-things) said most-useful for to-the many the
μὴ βλάπτεσθαι, τὴν χείρω περὶ αὐτοῦ δόξαν ἔχοντας.
not to-be-harmed the worse about him opinion having
Πρὸς δὲ τοὺς κακούργους ὁ λόγος, οἳ τοῖς ἑαυτῶν
toward but the malicious(-ones) (is)-the discourse who to-the their-own
κακοῖς βοηθοῦσιν, ἐξ ὧν ἄλλοις ἐπηρεάζουσιν. Ἐκεῖνος
evils help from which others they-abuse he
γὰρ, ἕνεκα τοῦ ὀρθοῦ λόγου καὶ τῆς κατὰ τὴν
for on-account-of the right doctrine and of-the according-to the
ἁγίαν Τριάδα συναφείας καὶ συνθεΐας, ἢ οὐκ οἶδ' ὅ
holy Trinity conjunction and co-divinity or not I-know what
τι κυριώτερον χρὴ εἰπεῖν καὶ σαφέστερον, μὴ ὅτι
— more-properly (one)-must say and more-clearly not that
θρόνων ἐκπεσεῖν, οἷς οὐδὲ ἀπ' ἀρχῆς ἐπεπήδησεν,
from-thrones to-fall-out on-which not-even from (the)-beginning he-had-leapt
ἀλλὰ καὶ φυγὴν, καὶ θάνατον, καὶ τὰς πρὸ τοῦ θανάτου
but also flight and death and the before the death
κολάσεις προθύμως ἐδέξατο ἂν, ὡς κέρδος, οὐ
punishments eagerly would-have-accepted — as gain not
κίνδυνον. Δηλοῖ δὲ οἷς τε ἤδη πεποίηκεν, οἷς
danger shows and by-what both already he-has-done by-what
τε πέπονθεν· ὅς γε καὶ ἐξορίαν ὑπὲρ τῆς ἀληθείας
and he-has-suffered who at-least even exile for the truth

κατακριθεὶς, τοσοῦτον ἐπραγματεύσατο μόνον, ὅσον ἑνὶ
condemned-to so-much he-transacted only as-much-as to-one
τῶν ἀκολούθων εἰπεῖν, ἀραμένῳ τὸ πυκτίον ἀκολουθεῖν.
of-the attendants to-say having-taken-up the writing-tablet to-follow
Οἰκονομεῖν δὲ τοὺς λόγους ἐν κρίσει, τῶν ἀναγκαίων
to-dispense and the words with judgment of-the necessities
ἐνόμιζε, τῷ θείῳ Δαβὶδ περὶ τούτου συμβούλῳ χρώμενος,
he-thought the divine David about this (as)-counselor using
καὶ μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφέρειν,
and (a)-little as-long-as the of-the war time to-carry
καὶ τὴν τῶν αἱρετικῶν δυναστείαν, ἕως ὁ τῆς ἐλευθερίας
and the of-the heretics power until the of-the freedom
καὶ τῆς αἰθρίας ἐπιλάβοι καιρὸς, καὶ δῷ τῇ γλώσσῃ
and of-the clear-sky should-arrive (the)-time and give to-the tongue
τὴν παῤῥησίαν. Οἱ μὲν γὰρ ἐζήτουν λαβέσθαι γυμνῆς
the boldness they indeed for sought to-seize bare
τῆς περὶ τοῦ Πνεύματος φωνῆς, ὡς εἴη Θεός (ὅπερ
the about the Spirit word that he-is God which
ὂν ἀληθὲς, ἀσεβὲς ἐκείνοις ὑπελαμβάνετο, καὶ τῷ κακῷ
being true impious by-them was-supposed and by-the evil
προστάτῃ τῆς ἀσεβείας)· ἵνα τὸν μὲν τῆς πόλεως
leader of-the impiety so-that the(-one) indeed from-the city
μετὰ τῆς θεολόγου γλώσσης ὑπερορίσωσιν, αὐτοὶ δὲ
with the theologian tongue they-might-banish themselves and
κατασχόντες τὴν Ἐκκλησίαν, καὶ τῆς ἑαυτῶν κακίας
having-seized the Church and of-the their-own vice
ὁρμητήριον ποιησάμενοι, ἐντεῦθεν τὸ λειπόμενον ἅπαν, ὡς
(a)-base having-made from-there the remaining all as
ἔκ τινος ἀκροπόλεως, καταδράμωσιν. Ὁ δὲ, ἐν ἄλλαις μὲν
from some citadel they-might-overrun he but in other indeed
φωναῖς γραφικαῖς, καὶ μαρτυρίαις ἀναμφιλέκτοις ταυτὸν
words scriptural and testimonies indisputable the-same

δυναμέναις, καὶ ταῖς ἐκ τῶν συλλογισμῶν ἀνάγκαις,
signifying and in-the from the syllogisms necessities
οὕτως ἦρχε τοὺς ἀντιλέγοντας, ὥστε μὴ ἀντιβαίνειν
so he-ruled the(-ones) contradicting so-that not to-resist
ἔχειν, ἀλλ᾽ οἰκείαις συνδεῖσθαι φωναῖς, ἥπερ δὴ καὶ
(were)-they-able but by-own to-be-bound words which indeed (is)-also
μεγίστη λόγου δύναμις καὶ σύνεσις. Δηλώσει δὲ καὶ ὁ
greatest of-speech power and understanding will-show and also the
λόγος, ὃν περὶ τούτου συνέγραψε, κινῶν τὴν γραφίδα, ὡς
treatise which about this he-composed moving the pen as
ἐκ πυξίδος τοῦ Πνεύματος· τὴν δὲ κυρίαν φωνὴν τέως
from (the)-box of-the Spirit the but proper word meanwhile
ὑπερετίθετο, παρά τε τοῦ Πνεύματος αὐτοῦ, καὶ τῶν
he-put-off from both the Spirit himself and the
γνησίων τούτου συναγωνιστῶν χάριν αἰτῶν, τῇ οἰκονομίᾳ
genuine of-this fellow-contenders grace asking at-the dispensation
μὴ δυσχεραίνειν· μηδὲ μιᾶς ἀντεχομένους φωνῆς, τὸ πᾶν
not to-be-vexed nor of-one holding-fast word the all
ἀπολέσαι δι᾽ ἀπληστίαν, τῷ καιρῷ παρασυρείσης
to-lose because-of greed by-the time swept-away
τῆς εὐσεβείας. Αὐτοῖς μὲν γὰρ οὐδεμίαν εἶναι
the piety for-them indeed for no (there-was)-to-be
ζημίαν, ὑπαλλαττομένων μικρὸν τῶν λέξεων, καὶ φωναῖς
loss being-changed (a)-little the expressions and by-words
ἄλλαις τὸ ἴσον διδασκομένοις· οὐδὲ γὰρ ἐν ῥήμασιν ἡμῖν
other the equal being-taught nor for in words for-us
εἶναι τὴν σωτηρίαν μᾶλλον ἢ πράγμασι· μηδὲ γὰρ
(was)-to-be the salvation more than in-things not-even for
τὸ Ἰουδαίων ἔθνος ἀπολαβεῖν ἂν, εἰ τὴν τοῦ ἠλειμμένου
the of-Jews nation to-receive — if the of-the anointed
φωνὴν, ἀντὶ τῆς Χριστοῦ, πρὸς ὀλίγον ἐπιζητοῦντες,
word instead-of the of-Christ for (a)-little seeking

ἠξίουν μεθ᾽ ἡμῶν τάττεσθαι· τῷ δὲ κοινῷ μεγίστην
they-deigned with us to-be-ranked to-the but commonwealth greatest
ἂν βλάβην γενέσθαι, τῆς Ἐκκλησίας κατασχεθείσης.
— harm (it)-would-be the Church having-been-seized

THE SAINTS COMPARED AND HIS DEATH

In private Basil swore to Gregory that the Spirit is God, leaving the boldness to him in hard times. Gregory sets him beside the saints, from Adam, Enoch, and Noah to John the Baptist, Peter, Paul, and John. Many copied his pallor, beard, gait, and slow speech. Dying, he ordained his disciples and gave up his spirit with the psalm's words. The whole city poured out for his funeral, Greeks and Jews mourning with the Christians, and some were crushed before he reached his fathers' tomb. Gregory, left half-dead, calls on every order to praise him and asks Basil to receive him at the last.

Ἐπεὶ ὅτι γε παντὸς μᾶλλον ᾔδει τὸ Πνεῦμα Θεὸν, 69
since that at-least than-all more he-knew the Spirit (to-be)-God
δῆλον μὲν ἐξ ὧν καὶ δημοσίᾳ τοῦτο πολλάκις ἐκήρυξεν,
(is)-clear indeed from what also publicly this often he-proclaimed
εἴ ποτε καιρὸς ἦν, καὶ ἰδίᾳ τοῖς ἐρωτῶσι προθύμως
if ever (the)-occasion was and privately to-the(-ones) asking eagerly
ἀνωμολόγησε· σαφέστερον δὲ πεποίηκεν ἐν τοῖς πρὸς ἐμὲ
he-confessed more-clearly but he-has-made(-it) in the to me
λόγοις, πρὸς ὃν οὐδὲν ἀπόῤῥητον ἦν αὐτῷ περὶ τούτων
words to whom nothing secret was to-him about these(-things)
κοινολογουμένῳ· μηδὲ ἁπλῶς τοῦτο ἀποφηνάμενος, ἀλλ᾽
conferring not-even simply this having-declared but
ὃ μηδέπω πρότερον πολλάκις πεποίηκεν, ἐπαρασάμενος
what never before often he-has-done having-cursed
ἑαυτῷ τὸ φρικωδέστατον, αὐτοῦ τοῦ Πνεύματος
himself (with)-the most-dreadful(-thing) from-very the Spirit

ἐκπεσεῖν, εἰ μὴ σέβοι τὸ Πνεῦμα μετὰ Πατρὸς
to-fall-away if not he-should-worship the Spirit with (the)-Father
καὶ Υἱοῦ, ὡς ὁμοούσιον καὶ ὁμότιμον. Εἰ δέ μέ τις
and (the)-Son as consubstantial and equal-in-honor if but me anyone
δέξαιτο κοινωνὸν ἐκείνου κἀν τοῖς τοιούτοις, ἐξαγορεύσω
should-accept (as)-partner of-him even-in the such(-things) I-will-disclose
τι καὶ τῶν τοῖς πολλοῖς τέως ἀγνοουμένων·
something also of-the(-things) to-the many hitherto unknown
ὅτι τοῦ καιροῦ στενοχωροῦντος ἡμᾶς, ἑαυτῷ μὲν τὴν
that the time hard-pressing us to-himself indeed the
οἰκονομίαν ἐπέτρεψεν, ἡμῖν δὲ τὴν παῤῥησίαν, οὓς οὐδεὶς
dispensation he-entrusted to-us but the boldness whom no-one
ἔμελλε κρίνειν, οὐδὲ ἀποβάλλειν τῆς πατρίδος, ἀφανείᾳ
was-going to-judge nor to-expel from-the fatherland by-obscurity
τετιμημένους, ὡς ἐξ ἀμφοτέρων ἰσχυρὸν εἶναι τὸ καθ᾽
honored so-that from both strong to-be the among
ἡμᾶς Εὐαγγέλιον. Καὶ ταῦτα διῆλθον, οὐχ ἵνα τῆς
us Gospel and these(-things) I-went-through not so-that the
ἐκείνου δόξης ὑπεραπολογήσωμαι (κρείττων γὰρ τῶν
his glory I-might-defend stronger for than-the(-ones)
ἐγκαλούντων, εἴπερ τινές εἰσιν, ὁ ἀνὴρ), ἀλλ᾽ ἵνα
accusing if-indeed some there-are (is)-the man but so-that
μὴ τοῦτον ὅρον τῆς εὐσεβείας νομίζοντες, τὰς ἐν
not this (as-the)-boundary of-the piety thinking the in
τοῖς γράμμασι μόνας τοῦ ἀνδρὸς εὑρισκομένας φωνὰς,
the writings alone of-the man found words
ἀσθενεστέραν τὴν πίστιν ἔχωσι, καὶ ἀπόδειξιν τῆς
weaker the faith they-may-have and (as-a)-proof of-the
ἑαυτῶν κακουργίας, τὴν ἐκείνου θεολογίαν, ἣν ὁ καιρὸς
their-own villainy the his theology which the time
ἐποίει μετὰ τοῦ Πνεύματος· ἀλλὰ τὸν τῶν γεγραμμένων
made with the Spirit but the of-the writings

νοῦν δοκιμάζοντες, καὶ τὸν σκοπὸν ἀφ' οὗ ταῦτα
sense testing and the aim from which these(-things)
ἐγράφετο, μᾶλλον τῇ τε ἀληθείᾳ προσάγωνται, καὶ
were-written more to-the both truth they-may-be-led and
τοὺς ἀσεβοῦντας ἐπιστομίζωσιν. Ἔμοιγ' οὖν εἴη, καὶ
the(-ones) impious may-muzzle to-me-at-least then may-be and
ὅστις ἐμοὶ φίλος, ἡ ἐκείνου θεολογία. Καὶ τοσοῦτον
who-ever to-me (a)-friend the his theology and so-much
θαῤῥῶ τῇ περὶ τὸ πρᾶγμα τοῦ ἀνδρὸς καθαρότητι, ὥστε
I-trust the about the matter of-the man purity that
καὶ τοῦτο κοινοποιοῦμαι πρὸς ἅπασι· κἀκείνῳ μὲν τὰ
also this I-make-common to all and-to-him indeed the(-things)
ἐμὰ, ἐμοὶ δὲ τὰ ἐκείνου λογίζοιτο παρά τε Θεῷ
mine to-me and the(-things) his may-be-reckoned before both God
καὶ τῶν ἀνθρώπων τοῖς εὐγνωμονεστέροις. Οὐδὲ γὰρ
and of-the men the more-fair-minded not-even for
τοὺς εὐαγγελιστὰς φαίημεν ἂν ὑπεναντία ποιεῖν ἀλλήλοις,
the evangelists we-would-say — contrary(-things) to-do to-one-another
ὅτι οἱ μὲν τῷ σαρκικῷ τοῦ Χριστοῦ πλέον
because the(-ones) indeed with-the fleshly(-side) — of-Christ more
ἐνησχολήθησαν, οἱ δὲ τῇ θεολογίᾳ προσέβησαν· καὶ
were-occupied the(-others) but to-the theology advanced and
οἱ μὲν ἐκ τῶν καθ' ἡμᾶς, οἱ δὲ ἐκ
the(-ones) indeed from the(-things) according-to us the(-others) and from
τῶν ὑπὲρ ἡμᾶς ἐποιήσαντο τὴν ἀρχήν· οὕτω τὸ κήρυγμα
the(-things) above us made the beginning so the preaching
διελόμενοι πρὸς τὸ χρήσιμον οἶμαι τοῖς δεχομένοις,
having-divided toward the useful I-think for-the(-ones) receiving
καὶ οὕτω παρὰ τοῦ ἐν αὐτοῖς τυπούμενοι Πνεύματος.
and so by the in them being-shaped Spirit

70 Φέρε δὴ, πολλῶν ἐν τοῖς πάλαι καὶ νῦν γεγονότων
come indeed many among the of-old and now having-been
ἀνδρῶν ἐπ᾽ εὐσεβείᾳ γνωρίμων, νομοθετῶν, στρατηγῶν,
men for piety known lawgivers generals
προφητῶν, διδασκάλων, τῶν ἀνδρικῶν μέχρις αἵματος,
prophets teachers the(-ones) manly to blood
παρ᾽ ἐκείνοις τὰ ἡμέτερα θεωρήσαντες, κἀντεῦθεν τὸν ἄνδρα
beside them the ours viewing and-thence the man
γνωρίσωμεν. Ἀδὰμ ἠξιώθη Θεοῦ χειρὸς, καὶ παραδείσου
let-us-know Adam was-deemed-worthy of-God's hand and of-paradise
τρυφῆς, καὶ πρώτης νομοθεσίας· ἀλλ᾽, εἰ μή τι λέγω
delight and of-(the)-first legislation but if not something I-say
βλάσφημον αἰδοῖ τοῦ προπάτορος, τὴν ἐντολὴν οὐκ
blasphemous in-reverence-for the forefather the commandment not
ἐφύλαξεν· ὁ δὲ, καὶ ἐδέξατο ταύτην, καὶ διεσώσατο, καὶ τῷ
he-kept he but both received it and preserved(-it) and by-the
ξύλῳ τῆς γνώσεως οὐκ ἐβλάβη, καὶ τὴν φλογίνην ῥομφαίαν
tree of-the knowledge not was-harmed and the flaming sword
παρελθὼν, εὖ οἶδα, τοῦ παραδείσου τετύχηκεν. Ἐνὼς ἤλπισε
having-passed well I-know the paradise has-obtained Enos hoped
πρῶτος ἐπικαλεῖσθαι τὸν Κύριον· ὁ δὲ, καὶ ἐπικέκληται,
first to-call-upon the Lord he and both has-called-upon
καὶ τοῖς ἄλλοις ἐκήρυξεν, ὃ τοῦ ἐπικαλεῖσθαι πολὺ
and to-the others proclaimed which than-the to-call-upon (is)-much
τιμιώτερον. Ἐνὼχ μετετέθη μικρᾶς εὐσεβείας (ἔτι γὰρ ἐν
more-honorable Enoch was-translated (of)-small piety still for in
σκιαῖς ἦν ἡ πίστις) ἆθλον εὑράμενος τὴν μετάθεσιν, καὶ
shadows was the faith (as-a)-prize having-won the translation and
τοῦ ἑξῆς βίου τὸν κίνδυνον διαπέφευγε· τοῦ δὲ, ὅλος ὁ
of-the subsequent life the danger escaped his but whole the
βίος μετάθεσις ἦν, τελείως ἐν βίῳ τελείῳ δοκιμασθέντος.
life (a)-translation was perfectly in life perfect having-been-tested

Νῶε κιβωτὸν ἐπιστεύθη, καὶ κόσμου δευτέρου σπέρματα
Noah (an)-ark was-entrusted(-with) and of-world second seeds
ξύλῳ μικρῷ πιστευθέντα, καὶ καθ' ὑδάτων σωζόμενα· ὁ
to-wood small entrusted and on waters saved he
δὲ κατακλυσμὸν ἀσεβείας διέφυγε, καὶ κιβωτὸν σωτηρίας
but (the)-flood of-impiety escaped and (an)-ark of-salvation
τὴν ἑαυτοῦ πεποίηται πόλιν, κούφως τῶν αἱρετικῶν
the his-own has-made city lightly over-the heretics
ὑπερπλέουσαν, ἐξ οὗ κόσμον ὅλον ἀνεκαλέσατο.
sailing from which (the)-world whole he-recalled
Μέγας ὁ Ἀβραὰμ, καὶ πατριάρχης, καὶ θύτης καινῆς 71
(is)-great — Abraham both patriarch and offerer of-(a)-new
θυσίας, τὸν ἐκ τῆς ἐπαγγελίας τῷ δεδωκότι
sacrifice the(-son) from the promise to-the(-one) having-given(-him)
προσαγαγὼν, ἱερεῖον ἕτοιμον, καὶ πρὸς τὴν σφαγὴν
having-offered (a)-victim ready and to the slaughter
ἐπειγόμενον· ἀλλ' οὐδὲ τὸ ἐκείνου μικρὸν, ἑαυτὸν
hastening but not-even the his (was)-small himself
προσήγαγε τῷ Θεῷ, καὶ οὐδὲν ὡς ἰσότιμον ἀντεδόθη,
he-offered — to-God and nothing as equal-in-value was-given-in-exchange
(τί γὰρ καὶ ἦν;) ὥστε καὶ τελειωθῆναι τὸ καλλιέρημα.
what for also was-there so-that also to-be-perfected the fair-offering
Ἰσαὰκ ἐπηγγέλθη καὶ πρὸ γενέσεως· ὁ δὲ αὐτεπάγγελτος ἦν,
Isaac was-promised even before birth he but self-promised was
καὶ τὴν Ῥεβέκκαν, λέγω δὴ τὴν Ἐκκλησίαν, οὐ πόῤῥωθεν,
and — Rebecca I-mean indeed the Church not from-afar
ἀλλ' ἐγγύθεν ἠγάγετο, οὐδὲ διὰ πρεσβείας οἰκετικῆς, ἀλλ'
but from-near he-took nor through (an)-embassy of-servants but
ἐκ Θεοῦ δοθεῖσαν καὶ πιστευθεῖσαν· οὐδὲ κατεσοφίσθη περὶ
from God given and entrusted nor he-was-outwitted about
τὴν τῶν τέκνων προτίμησιν, ἀλλ' ἑκάστῳ τὰ πρὸς
the of-the children preference but to-each the(-things) according-to

ἀξίαν ἀπαραλογίστως ἔνεμε μετὰ τῆς τοῦ Πνεύματος
worth without-deceit he-assigned with the of-the Spirit
κρίσεως. Ἐπαινῶ τὴν Ἰακὼβ κλίμακα, καὶ τὴν στήλην,
judgment I-praise the of-Jacob ladder and the pillar
ἣν ἤλειψε τῷ Θεῷ, καὶ τὴν πρὸς αὐτὸν πάλην, ἥτις ποτὲ
which he-anointed — to-God and the against him wrestling which ever
ἦν· οἶμαι δὲ τοῦ ἀνθρωπείου μέτρου πρὸς τὸ θεῖον ὕψος
it-was I-think and of-the human measure against the divine height
ἀντιπαρέκτασις, καὶ ἀντίθεσις, ὅθεν καὶ ἄγει τὰ σύμβολα
(a)-counter-stretching and opposition whence also he-bears the tokens
τῆς ἡττωμένης γενέσεως. Ἐπαινῶ καὶ τὴν περὶ τὰ θρέμματα
of-the defeated generation I-praise also the about the flocks
τοῦ ἀνδρὸς εὐμηχανίαν καὶ εὐημερίαν, καὶ τοὺς δώδεκα
of-the man ingenuity and prosperity and the twelve
ἐξ αὐτοῦ πατριάρχας, καὶ τὸν τῶν εὐλογιῶν μερισμὸν σὺν
from him patriarchs and the of-the blessings distribution with
οὐκ ἀγεννεῖ προφητείᾳ τοῦ μέλλοντος· ἀλλ' ἐπαινῶ καὶ
not ignoble prophecy of-the future but I-praise also
τούτου τὴν οὐχ ὁραθεῖσαν μόνον, ἀλλὰ καὶ διαβαθεῖσαν
of-this(-man) the not seen only but also climbed
κλίμακα ταῖς κατὰ μέρος εἰς ἀρετὴν ἀναβάσεσι, καὶ τὴν
ladder by-the in part toward virtue ascents and the
στήλην, ἣν οὐκ ἤλειψεν, ἀλλ' ἤγειρε τῷ Θεῷ, τὰ τῶν
pillar which not he-anointed but raised — to-God the(-things) of-the
ἀσεβῶν στηλιτεύουσαν, καὶ τὴν πάλην, ἣν οὐκ ἐπάλαισε
impious pillorying and the wrestling which not he-wrestled
πρὸς Θεὸν, ἀλλ' ὑπὲρ Θεοῦ, τὰ τῶν αἱρετικῶν
against God but for God the(-things) of-the heretics
καταβάλλουσαν, τήν τε ποιμαντικὴν τοῦ ἀνδρὸς, ἐξ ἧς
throwing-down the both shepherding of-the man from which
ἐπλούτησε, πλείω τῶν ἀσήμων προβάτων κτησάμενος τὰ
he-was-enriched more than-the unmarked sheep having-acquired the

ἐπίσημα, τήν τε καλὴν πολυτεκνίαν τῶν κατὰ Θεὸν
marked(-ones) the both fine many-childbearing of-the(-ones) according-to God
γεννηθέντων, καὶ τὴν εὐλογίαν, ᾗ πολλοὺς ἐστήριξεν.
born and the blessing by-which many he-strengthened
Ἰωσὴφ ἐγένετο σιτοδότης, ἀλλ' Αἰγύπτου μόνης, καὶ 72
Joseph became (a)-grain-giver but of-Egypt only and
οὐ πολλάκις, καὶ σωματικῶς· ὁ δὲ πάντων, καὶ ἀεὶ,
not often and bodily he but of-all and always
καὶ πνευματικῶς, ὅπερ ἐμοὶ τῆς σιτοδοσίας ἐκείνης
and spiritually which to-me than-the grain-giving that
αἰδεσιμώτερον. Μετὰ Ἰὼβ τοῦ Αὐσίτου, καὶ πεπείραται, καὶ
(is)-more-venerable with Job the Ausite both he-has-been-tried and
νενίκηκε, καὶ ἀνηγόρευται λαμπρῶς ἐπὶ τέλει τῶν ἄθλων,
has-conquered and has-been-proclaimed brilliantly at (the)-end of-the contests
μηδενὶ τῶν τινασσόντων πολλῶν ὄντων κατασεισθεὶς,
by-none of-the(-ones) shaking(-him) many being shaken
ἀλλὰ πολλῷ τῷ περιόντι τὸν πειραστὴν καταπαλαίσας, καὶ
but with-much the abundance the tempter having-thrown and
τῶν φίλων τὴν ἀλογίαν ἐπιστομίσας, ἀγνοούντων τὸ τοῦ
of-the friends the folly having-muzzled not-knowing the of-the
πάθους μυστήριον. Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν
suffering mystery Moses and Aaron among the priests
αὐτοῦ. Καὶ μέγας Μωϋσῆς μὲν Αἴγυπτον βασανίσας,
his and great (was)-Moses indeed Egypt having-tormented
λαὸν διασώσας ἐν σημείοις πολλοῖς καὶ τέρασι, τῆς
(the)-people having-saved with signs many and wonders of-the
νεφέλης εἴσω χωρήσας, νομοθετήσας τὸν διπλοῦν νόμον,
cloud within having-gone having-legislated the double law
τόν τε τοῦ γράμματος ἔξωθεν, καὶ ὅσος ἔνδοθεν
the(-law) both of-the letter outside and as-much-as within
τὸν τοῦ Πνεύματος. Ἀαρὼν δὲ Μωϋσέως ἀδελφὸς, καὶ
the(-law) of-the Spirit Aaron but of-Moses brother both

τὸ σῶμα, καὶ τὸ πνεῦμα, τοῦ λαοῦ προθυόμενος καὶ
the body and the spirit for-the people sacrificing-before and
προσευχόμενος, μύστης τῆς ἱερᾶς καὶ μεγάλης σκηνῆς,
praying (the)-initiate of-the holy and great tent
ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. Τούτων δὲ
which pitched the Lord and not man of-these and
ἀμφοτέρων ζηλωτὴς ἐκεῖνος, βασανίζων μὲν, οὐ σωματικαῖς
both emulator (was)-he tormenting indeed not with-bodily
μάστιξι, πνευματικαῖς δὲ καὶ λογικαῖς, ἔθνος αἱρετικὸν
whips with-spiritual but and rational (a)-nation heretical
καὶ Αἰγύπτιον· ἄγων δὲ λαὸν περιούσιον, ζηλωτὴν καλῶν
and Egyptian leading and (a)-people special zealous of-good
ἔργων, ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας, πλαξὶ δὲ νόμους
works to the land of-the promise on-tablets and laws
ἐγγράφων, οὐ συντριβομέναις, ἀλλὰ σωζομέναις, οὐκ ἔτι
writing not broken but preserved no longer
σκιοειδεῖς, ἀλλ' ὅλον πνευματικούς· εἰς δὲ τὰ Ἅγια τῶν
shadowy but wholly spiritual into and the Holy of-the
ἁγίων, οὐχ ἅπαξ τοῦ ἐνιαυτοῦ, πολλάκις δὲ, καὶ καθ'
holies not once of-the year often but even on
ἑκάστην, ὡς εἰπεῖν, εἰσιὼν τὴν ἡμέραν, ὅθεν τὴν ἁγίαν ἡμῖν
each as to-say entering the day whence the holy to-us
ἀνακαλύπτει Τριάδα, καὶ λαὸν καθαίρων, οὐ προσκαίροις
he-reveals Trinity and (a)-people cleansing not with-temporary
ῥαντίσμασιν, ἀλλ' ἀϊδίοις ἁγνίσμασι. Τί τὸ
sprinklings but with-everlasting purifications what (was)-the
κάλλιστον Ἰησοῦ; Στρατηγία, καὶ κληροδοσία, καὶ γῆς
finest(-thing) of-Joshua generalship and allotment and of-land
τῆς ἁγίας κατάσχεσις· ὁ δὲ, οὐκ ἔξαρχος; οὐ στρατηγὸς
the holy possession he but not leader not general
τῶν διὰ πίστεως σωζομένων; οὐ κληροδότης τῶν
of-the(-ones) through faith saved not allotter of-the

διαφόρων παρὰ Θεῷ κλήρων καὶ μονῶν, ἃς διανέμει
different with God lots and mansions which he-distributes
τοῖς ἀγομένοις; ὥστε κἀκείνην δύνασθαι τὴν φωνὴν
to-the(-ones) led so-that also-that to-be-able the word
εἰπεῖν, ὅτι Σχοινία ἐπέπεσόν μοι ἐν τοῖς κρατίστοις·
to-say that (the)-cords have-fallen for-me in the best(-places)
καὶ, Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου· κλῆροι τῶν
and in the hands your (are)-the lots my lots than-the
χαμαὶ ἐρχομένων, καὶ ἁρπαζομένων πολλῷ τιμιώτεροι.
on-the-ground coming and seized much more-precious
Καὶ, ἵνα τοὺς κριτὰς παραδράμωμεν, ἢ τῶν κριτῶν τοὺς 73
and so-that the judges we-may-pass-over or of-the judges the
εὐδοκιμωτάτους, Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ
most-renowned Samuel among the(-ones) calling-upon the
ὄνομα αὐτοῦ, καὶ Θεῷ δοτὸς πρὸ γενέσεως, καὶ μετὰ τὴν
name his and to-God given before birth and after the
γέννησιν εὐθὺς ἱερὸς, καὶ χρίων βασιλέας καὶ ἱερέας διὰ
birth at-once holy and anointing kings and priests with
τοῦ κέρατος. Οὗτος δὲ, οὐκ ἐκ βρέφους Θεῷ καθιερωμένος
the horn this(-man) but not from infancy to-God consecrated
ἀπὸ μήτρας, καὶ μετὰ τῆς διπλοΐδος ἐπιδεδομένος τῷ
from (the)-womb and with the double-cloak given-over to-the
βήματι, καὶ βλέπων τὰ ἐπουράνια, καὶ χριστὸς Κυρίου
sanctuary and seeing the heavenly(-things) both anointed of-(the)-Lord
ἦν, καὶ χρίστης τῶν τελειουμένων ἐκ Πνεύματος; Δαβὶδ
was and anointer of-the(-ones) perfected by (the)-Spirit David
ἐν βασιλεῦσιν ἀοίδιμος, οὗ πολλαὶ μὲν ἱστοροῦνται
among kings (is)-celebrated of-whom many indeed are-recounted
κατὰ τῶν ἐχθρῶν νῖκαι καὶ τρόπαια, ἡ πρᾳότης δὲ
against the enemies victories and trophies the meekness but
τὸ ἐπισημότατον, καὶ πρὸ τῆς βασιλείας ἡ τῆς κινύρας
the most-notable and before the kingship the of-the lyre

δύναμις, καὶ πονηροῦ πνεύματος κατεπᾴδουσα. Σολομῶν
power even (an)-evil spirit charming Solomon
πλάτος καρδίας ᾐτήσατο παρὰ Θεοῦ, καὶ τετύχηκεν, ἐπὶ
breadth of-heart asked from God and obtained to
πλεῖστον προελθὼν σοφίας καὶ θεωρίας, ὥστε γενέσθαι
(the)-most advancing of-wisdom and contemplation so-that to-become
τῶν καθ' ἑαυτὸν ἁπάντων εὐδοκιμώτατος. Ὁ δὲ, τοῦ
of-the(-men) in his(-time) all most-renowned he but of-the(-one)
μὲν τῷ πρᾴῳ, τοῦ δὲ τῇ σοφίᾳ, κατὰ τὸν ἐμὸν
indeed in-the meekness of-the(-other) and in-the wisdom according-to the my
λόγον, οὐδὲν ἢ μικρῷ λείπεται· ὥστε καὶ βασιλέων θράσος
account in-nothing or little falls-short so-that even of-kings boldness
δαιμονούντων καταμαλάσσειν· καὶ μὴ βασίλισσαν νότου
raging to-soften and not (a)-queen of-(the)-south
μόνον, ἢ τὸν δεῖνα, κατὰ κλέος τῆς αὐτοῦ σοφίας ἐκ τῶν
only or the so-and-so on (the)-fame of-the his wisdom from the
περάτων τῆς γῆς ἀπαντᾶν, ἀλλὰ καὶ πᾶσι τοῖς πέρασι τὴν
ends of-the earth to-come but also to-all the ends the
ἐκείνου σοφίαν γνωρίζεσθαι. Καὶ τὰ ἑξῆς παρήσω
his wisdom to-be-made-known and the(-things) next I-will-pass-over
τοῦ Σολομῶντος· πᾶσι δὲ δῆλα, κἂν ἡμεῖς φειδώμεθα.
— of-Solomon to-all but (they-are)-clear even-if we spare(-them)
74 Ἐπαινεῖς Ἠλίου τὴν πρὸς τοὺς τυράννους παῤῥησίαν,
do-you-praise of-Elijah the toward the tyrants boldness
καὶ τὴν διὰ πυρὸς ἁρπαγήν; Ἐλισσαίου τε τὴν καλὴν
and the through fire taking-up of-Elisha both the fine
κληρονομίαν, τὴν μηλωτὴν, ᾗ τὸ Ἠλίου πνεῦμα
inheritance the sheepskin with-which the of-Elijah spirit
συνηκολούθησεν; Ἐπαίνει κἀκείνου τὴν ἐν πυρὶ ζωὴν,
followed praise also-his the in fire life
τῷ πλήθει λέγω τῶν πειρασμῶν, καὶ τὴν διὰ πυρὸς
by-the multitude I-mean of-the temptations and the through fire

σωτηρίαν, καίοντος μὲν, οὐ κατακαίοντος δὲ, τὸ περὶ τὴν
salvation burning indeed not consuming but the about the
βάτον θαῦμα, καὶ τὸ καλὸν ἐξ ὕψους δέρος, τὴν ἀσαρκίαν.
bush wonder and the fine from height fleece the fleshlessness
Ἐῶ τἄλλα, τοὺς δροσισθέντας ἐν πυρὶ νεανίας· τὸν
I-pass-over the-rest the bedewed in fire young-men the(-one)
ἐν γαστρὶ κήτους εὐξάμενον προφήτην φυγάδα καὶ, ὡς
in (the)-belly of-(the)-whale having-prayed prophet fugitive and as
ἀπὸ θαλάμου, τοῦ θηρὸς προελθόντα· τὸν ἐν λάκκῳ
from (a)-bridal-chamber from-the beast having-come-out the(-one) in (the)-pit
δίκαιον, λεόντων θράσος πεδήσαντα· ἢ τὴν τῶν ἑπτὰ
just of-lions boldness having-fettered or the of-the seven
Μακκαβαίων ἄθλησιν, σὺν ἱερεῖ καὶ μητρὶ τελειωθέντων
Maccabees contest with (a)-priest and mother perfected
ἐν αἵματι, καὶ παντοίοις βασάνων εἴδεσιν. Ὧν ἐκεῖνος
in blood and by-every-kind of-tortures forms of-whom he
ζηλώσας τὴν καρτερίαν, καὶ τὴν δόξαν ἠνέγκατο.
having-emulated the endurance also the glory carried-off
Ἐπὶ δὲ τὴν Νέαν μέτειμι Διαθήκην, καὶ τοῖς ἐνταῦθα 75
to but the New I-pass Covenant and with-the here
εὐδοκίμοις τὰ ἐκείνου παρεξετάσας, τιμήσω τὸν μαθητὴν
renowned-ones the(-things) of-him having-compared I-will-honor the disciple
ἐκ τῶν διδασκάλων. Τίς Ἰησοῦ πρόδρομος; Ἰωάννης,
from the teachers who of-Jesus forerunner John
ὡς φωνὴ Λόγου, καὶ ὡς λύχνος Φωτὸς, οὗ καὶ
as voice of-(the)-Word and as lamp of-(the)-Light before-whom even
προεσκίρτησεν ἐν γαστρὶ, καὶ προέδραμεν εἰς ᾅδου,
he-leapt in (the)-womb and he-ran-ahead into (the-realm)-of-Hades
διὰ τῆς Ἡρῴδου μανίας παραπεμφθεὶς, ἵνα κηρύξῃ
through the of-Herod madness sent-on so-that he-might-proclaim
κἀκεῖ τὸν ἐρχόμενον. Καὶ εἴ τῳ φαίνεται τολμηρὸς ὁ
also-there the coming(-one) and if to-anyone seems bold the

λόγος, ἐκεῖνο προεξεταζέτω τοῖς λεγομένοις, ὅτι μὴ προτιθεὶς,
speech this let-him-first-consider in-the things-said that not preferring
μηδὲ εἰς ἴσον μετάγων τὸν ἄνδρα τῷ ἐν γεννητοῖς
nor to equal(-rank) bringing the man to-the(-one) among (those)-born
γυναικῶν ὑπὲρ ἅπαντας, ταύτην ποιοῦμαι τὴν παρεξέτασιν·
of-women above all this I-make the comparison
ἀλλὰ ζηλωτὴν ἀποφαίνων, καί τι τοῦ χαρακτῆρος
but (an)-emulator showing(-him) and something of-the character
ἐκείνου ἐν ἑαυτῷ φέροντα. Οὐ γὰρ μικρὸν τοῖς σπουδαίοις,
of-that(-one) in himself bearing not for small for-the earnest
καὶ μικρὰ τῶν μεγίστων ἡ μίμησις. Ἡ γὰρ οὐκ ἐναργὴς
even small(-parts) of-the greatest the imitation surely for not vivid
τῆς ἐκείνου φιλοσοφίας εἰκὼν ὁ ἀνήρ; Καὶ οὗτος ἔρημον
of-the his philosophy image the man both this(-one) (the)-desert
ᾤκησε· καὶ τούτῳ τρύχινον ἔσθημα εἶχον αἱ νύκτες,
inhabited and for-this(-one) ragged garment had the nights
ἀγνοούμενον, οὐκ ἐπιδεικνύμενον· καὶ οὗτος τὴν ἴσην τροφὴν
unknown not displayed and this(-one) the same food
ἠγάπησε, Θεῷ καθαίρων ἑαυτὸν διὰ τῆς ἐγκρατείας· καὶ
loved for-God cleansing himself through the self-control and
οὗτος Χριστοῦ κῆρυξ ἠξιώθη γενέσθαι, εἰ καὶ μὴ
this(-one) of-Christ herald was-deemed-worthy to-become if even not
πρόδρομος· καὶ ἐξεπορεύετο πρὸς αὐτὸν, οὐχ ἡ περίχωρος
forerunner and went-out to him not the surrounding-country
πᾶσα μόνον, ἀλλ' ἤδη καὶ ἡ ὑπερόριος· καὶ οὗτος
all only but now also the (land)-beyond-the-borders and this(-one)
μέσος τῶν δύο Διαθηκῶν, τῆς μὲν καταλύων τὸ γράμμα,
between the two Covenants of-the-one indeed abolishing the letter
τῆς δὲ δημοσιεύων τὸ πνεῦμα, καὶ ποιῶν πλήρωσιν
of-the-other and publishing the spirit and making (the)-fulfillment
τοῦ κρυπτομένου νόμου, τὴν τοῦ φαινομένου κατάλυσιν.
of-the hidden law the of-the visible abolition

Ἐμιμήσατο Πέτρου τὸν ζῆλον, Παύλου τὸν τόνον, τῶν 76
he-imitated of-Peter the zeal of-Paul the vigor of-the
ὀνομαστῶν καὶ μετωνομασμένων ἀμφοτέρων τὴν πίστιν·
named and renamed both the faith
τῶν υἱῶν Ζεβεδαίου τὸ μεγαλόφωνον· πάντων τῶν μαθητῶν
of-the sons of-Zebedee the loud-voice of-all the disciples
τὸ εὐτελὲς καὶ ἀπέριττον. Διὰ ταῦτά τοι καὶ κλεῖς
the plainness and simplicity because-of these(-things) surely also (the)-keys
οὐρανῶν πιστεύεται· καὶ οὐχ ὅσον ἀπὸ Ἱερουσαλὴμ
of-(the)-heavens he-is-entrusted-with and not as-much-as from Jerusalem
μέχρι τοῦ Ἰλλυρικοῦ, μείζονα δὲ κύκλον τῷ Εὐαγγελίῳ
as-far-as — Illyricum (a)-greater but circle for-the Gospel
περιλαμβάνει· καὶ υἱὸς βροντῆς, οὐκ ὀνομάζεται μὲν, γίνεται
he-embraces and son of-thunder not he-is-named indeed he-becomes
δέ· καὶ ἐπὶ τὸ στῆθος Ἰησοῦ κείμενος, ἐκεῖθεν ἕλκει τοῦ
but and upon the breast of-Jesus lying from-there he-draws of-the
λόγου τὴν δύναμιν, καὶ τὸ βάθος τῶν νοημάτων. Στέφανος
word the power and the depth of-the thoughts Stephen
μὲν γὰρ ἐκωλύθη γενέσθαι, εἰ καὶ πρόθυμος ἦν, ἐπισχὼν
indeed for he-was-prevented to-become if even eager he-was having-checked
αἰδοῖ τοὺς λιθάζοντας. Ἔτι δὲ συντομώτερον εἰπεῖν ἔχω, ἵνα
by-awe the stoning(-ones) still and more-briefly to-say I-can so-that
μὴ τοῖς καθ' ἕκαστον ἐπεξίω περὶ τούτων. Ἐκεῖνος
not the(-points) by each I-may-go-through about these he
γὰρ, τὸ μὲν ἐξεῦρε τῶν καλῶν, τὸ δὲ ἐζήλωσε,
for the(-one) indeed discovered of-the good(-things) the(-other) and emulated
τὸ δὲ ἐνίκησε. Τῷ δὲ διὰ πάντων ἐλθεῖν, τῶν νῦν
the(-other) and surpassed by-the and through all to-go the now
πάντων ἐκράτησεν. Ἓν ἐπὶ πᾶσιν ἐρῶ, καὶ σύντομον.
all he-prevailed-over one(-thing) upon all I-will-say and brief

77 Τοσαύτη τοῦ ἀνδρὸς ἡ ἀρετὴ, καὶ ἡ τῆς δόξης περιουσία,
so-great of-the man the virtue and the of-the glory abundance
ὥστε πολλὰ καὶ τῶν ἐκείνου μικρῶν, ἤδη δὲ καὶ τῶν
that many even of-the his small(-things) now and even of-the
σωματικῶν ἐλαττωμάτων ἑτέροις εἰς εὐδοξίαν ἐπενοήθη.
bodily defects by-others for repute were-contrived
Οἷον ὠχρότητα λέγω, καὶ γενειάδα, καὶ βαδίσματος ἦθος,
such-as pallor I-mean and beard and of-gait manner
καὶ τὸ περὶ λόγον μὴ πρόχειρον, σύννουν τε, ὡς τὰ
and the in speech not ready thoughtful and as the(-things)
πολλὰ, καὶ εἴσω συννενευκός· ὃ τοῖς πολλοῖς μὴ καλῶς
many and inward bent which by-the many not well
ζηλωθὲν, μηδὲ νοηθὲν, σκυθρωπότης ἐγένετο. Ἔτι δὲ εἶδος
emulated nor understood sullenness became still and (the)-style
ἐσθῆτος, καὶ σκίμποδος σχῆμα, καὶ τρόπος βρώσεως,
of-clothing and of-bed (the)-shape and (the)-manner of-eating
ὧν οὐδὲν ἐκείνῳ διὰ σπουδῆς ἦν, ἀλλ' ἁπλῶς ἔχον, καὶ
of-which nothing to-him through care was but simply being and
συμπῖπτον ὡς ἔτυχε. Καὶ πολλοὺς ἂν ἴδοις Βασιλείους
falling-out as it-chanced and many — you-might-see Basils
ἄχρι τοῦ ὁρωμένου, τοὺς ἐν ταῖς σκιαῖς ἀνδριάντας· πολὺ
as-far-as the seen the in the shadows statues much
γὰρ εἰπεῖν, ὅτι καὶ τὸ τῆς ἠχοῦς ὑστερόφωνον. Ἐκείνη
for to-say that even the of-the echo late-sounding that
μὲν γὰρ, εἰ καὶ τὰ τελευταῖα τῆς φωνῆς, ἀλλ' οὖν
indeed for if even the last(-parts) of-the voice yet then
ἐναργέστερον ὑποκρίνεται· οἱ δὲ πλεῖον ἀπέχουσι τοῦ
more-vividly renders these but more stand-off from-the
ἀνδρὸς, ἢ ὅσον πλησιάζειν ἐπιθυμοῦσιν. Ἐκεῖνο δὲ οὐκ
man than as-much-as to-approach they-desire that but not
ἔτι μικρὸν, ἀλλὰ καὶ μέγιστον εἰς φιλοτιμίαν εἰκότως,
any-longer small but even greatest for pride rightly

τὸ τυχεῖν ἐκείνῳ ποτὲ πλησιάσαντας, ἢ θεραπεύσαντας,
the to-have-chanced with-him once having-drawn-near or having-served
ἤ τι κατὰ παιδιὰν ἢ σπουδὴν εἰρημένον ἢ πεπραγμένον
or something in play or earnest said or done
φέρειν ἀπομνημόνευμα, ὥσπερ οὖν κἀγὼ πολλάκις οἶδα
to-carry (as-a)-keepsake as then I-too often know
καλλωπισάμενος· ἐπεὶ καὶ τὰ πάρεργα τοῦ ἀνδρὸς, τῶν
having-prided-myself since even the by-works of-the man than-the
πονουμένων ἑτέροις πολὺ τιμιώτερα καὶ περιφανέστερα.
labored(-works) of-others far more-precious and more-illustrious
Ἐπεὶ δὲ τὸν δρόμον τελέσας, καὶ τὴν πίστιν τηρήσας 78
when but the course having-finished and the faith having-kept
ἐπόθει τὴν ἀνάλυσιν, καὶ ὁ τῶν στεφάνων ἐνειστήκει
he-longed-for the departure and the of-the crowns had-come
καιρὸς, κἀκεῖνο μὲν οὐκ ἤκουσεν· Εἰς τὸ ὄρος ἀνάβηθι, καὶ
time and-that indeed not he-heard into the mountain go-up and
τελεύτα· τελεύτα δὲ, καὶ ἀνάβαινε πρὸς ἡμᾶς· θαυματουργεῖ
die die but and come-up to us he-works-wonders
τι κἀνταῦθα τῶν προειρημένων οὐκ ἔλαττον. Νεκρὸς
something even-here than-the aforesaid not less dead
γὰρ ὢν ἤδη σχεδὸν, καὶ ἄπνους, καὶ τὸ τοῦ βίου πλεῖστον
for being already nearly and breathless and the of-the life most
καταλελοιπὼς, εὐτονώτερος γίνεται περὶ τοὺς ἐξιτηρίους
having-left-behind stronger he-becomes for the departing
τῶν λόγων, ἵνα τοῖς τῆς εὐσεβείας συναπέλθῃ ῥήμασι,
of-the words so-that with-the of-the piety he-might-depart words
καὶ χειροτονίαις τῶν γνησιωτάτων αὐτοῦ θεραπευτῶν
and in-ordinations of-the truest his servants
τὴν χεῖρα δίδωσι καὶ τὸ Πνεῦμα· ὥστε μὴ ζημιωθῆναι
the hand he-gives and the Spirit so-that not to-be-deprived
τὸ βῆμα τοὺς ἐκείνου μαθητὰς, καὶ τῆς ἱερωσύνης
the sanctuary (of)-the his disciples and of-the priesthood

συλλήπτορας. Τοῖς δὲ ἑξῆς ὀκνεῖ μὲν προσελθεῖν ὁ
helpers to-the but next(-things) hesitates indeed to-approach the
λόγος, προσβήσεται δὲ ὅμως, εἰ καὶ ἄλλοις μᾶλλον ἡμῶν
speech it-will-approach but nevertheless if even for-others rather than-us
πρέπων ὁ λόγος. Οὐ γὰρ ἔχω φιλοσοφεῖν ἐν τῷ πάθει, καὶ
fitting the speech not for I-can to-philosophize in the suffering even
εἰ σφόδρα φιλοσοφεῖν ἐσπούδακα, τῆς κοινῆς μεμνημένος
if greatly to-philosophize I-have-striven the common remembering
ζημίας, καὶ τοῦ κατασχόντος πάθους τὴν οἰκουμένην.
loss and the having-seized grief the world

79 Ἔκειτο μὲν ὁ ἀνὴρ τὰ τελευταῖα πνέων, καὶ παρὰ τῆς
lay indeed the man the last(-breaths) breathing and by the
ἄνω χοροστασίας ἐπιζητούμενος, πρὸς ἣν ἐκ πλείονος
above choir being-sought to which for long
ἔβλεπεν· ἐγχεῖτο δὲ περὶ αὐτὸν πᾶσα ἡ πόλις, τὴν ζημίαν
he-was-looking poured and around him all the city the loss
οὐ φέροντες, καὶ τῆς ἐκδημίας, ὡς τυραννίδος, καταβοῶντες,
not bearing and the departure as tyranny crying-out-against
καὶ τῆς ψυχῆς λαμβανόμενοι, ὡς καθεκτῆς καὶ βιασθῆναι
and of-the soul seizing-hold as detainable and to-be-forced
δυναμένης ἢ χερσὶν, ἢ δεήσεσιν. Ἐποίει γὰρ αὐτοὺς καὶ
able either by-hands or by-prayers made for them even
παράφρονας τὸ πάθος· καὶ προσθεῖναί τι τῆς ἑαυτῶν
out-of-their-minds the grief and to-add something of-the their-own
ζωῆς ἕκαστος ἐκείνῳ, εἴπερ οἷόν τε ἦν, πρόθυμος
life each to-him if-indeed possible — it-were eager
ἦν. Ὡς δὲ ἡττήθησαν (ἔδει γὰρ αὐτὸν ἐλεγχθῆναι
was when but they-were-defeated it-was-necessary for him to-be-proved
ἄνθρωπον ὄντα), καὶ, Εἰς χεῖράς σου παραθήσομαι τὸ
(a)-man being and into hands your I-will-commit the
πνεῦμά μου τελευταῖον εἰπὼν, τοῖς ἀπάγουσιν αὐτὸν
spirit my last having-said to-the leading-away him

ἀγγέλοις οὐκ ἀηδῶς ἀναπέψυξεν· ἔστιν ἃ τοὺς παρόντας
angels not unpleasantly he-breathed-his-last in-some things the present
μυσταγωγήσας, καὶ βελτίους ποιήσας ταῖς ἐπισκήψεσι. Τότε
having-initiated and better having-made by-the injunctions then
δὴ θαῦμα γίνεται τῶν πώποτε γενομένων ὀνομαστότατον.
indeed (a)-wonder happens of-the ever happened most-renowned
Προεκομίζετο μὲν ὁ ἅγιος, χερσὶν ἁγίων ὑψούμενος· 80
was-carried-forth indeed the saint by-hands of-saints raised-up
σπουδὴ δ' ἦν ἑκάστῳ, τῷ μὲν κρασπέδου λαβέσθαι,
eagerness and was for-each for-one indeed (the)-hem to-take-hold-of
τῷ δὲ σκιᾶς, τῷ δὲ τοῦ ἱεροφόρου σκίμποδος,
for-another and (the)-shadow for-another and of-the holy-bearing bier
καὶ ψαῦσαι μόνον (τί γὰρ ἐκείνου τοῦ σώματος
and to-touch only what for than-that the body
ἱερώτερόν τε καὶ καθαρώτερον;) τῷ δὲ τῶν
holier both and purer for-another and of-the
ἀγόντων ἐλθεῖν πλησίον, τῷ δὲ τῆς θέας ἀπολαῦσαι
bearers to-come near for-another and the sight to-enjoy
μόνης, ὥς τι κἀκείνης πεμπούσης ὄφελος. Πλήρεις
alone as some even-that sending benefit full
ἀγοραὶ, στοαὶ, διώροφοι, τριώροφοι, τῶν ἐκεῖνον
(the)-marketplaces colonnades two-storied three-storied of-those him
παραπεμπόντων, προηγουμένων, ἑπομένων, παρεπομένων,
escorting going-before following accompanying
ἀλλήλοις ἐπεμβαινόντων, μυριάδες γένους παντὸς καὶ
one-another trampling tens-of-thousands of-race every and
ἡλικίας ἁπάσης, οὐ πρότερον γινωσκόμεναι. Ψαλμῳδίαι
of-age every not before known psalmodies
θρήνοις ὑπερνικώμεναι, καὶ τὸ φιλόσοφον τῷ πάθει
by-laments overcome and the philosophic by-the grief
καταλυόμενον. Ἀγὼν δὲ τοῖς ἡμετέροις πρὸς τοὺς ἐκτὸς,
undone contest and for-the ours against those outside

Ἕλληνας, Ἰουδαίους, ἐπήλυδας· ἐκείνοις πρὸς ἡμᾶς,
Greeks Jews newcomers for-them against us
ὅστις πλέον ἀποκλαυσάμενος, πλείονος μετάσχῃ τῆς
whoever more having-wept-aloud (a)-greater might-share-in the
ὠφελείας. Πέρας τοῦ λόγου, καὶ εἰς κίνδυνον τελευτᾷ
benefit end of-the speech and in danger ends
τὸ πάθος· συναπελθουσῶν αὐτῷ ψυχῶν οὐκ ὀλίγων, ἐκ
the grief having-departed-with him souls not few from
τῆς τοῦ ὠθισμοῦ βίας καὶ συγκλονήσεως· αἳ καὶ τοῦ
the of-the shoving violence and tumult who even for-the
τέλους ἐμακαρίσθησαν, ὡς ἐκείνῳ συνέκδημοι, καὶ θύματα
end were-called-blessed as with-him fellow-travelers and victims
ἐπιτάφια, τάχα ἄν τις εἴποι τῶν θερμοτέρων. Μόλις δὲ
funeral perhaps — someone would-say of-the more-ardent scarcely and
τὸ σῶμα διαφυγὸν τοὺς ἁρπάζοντας, καὶ νικῆσαν τοὺς
the body having-escaped those snatching and having-overcome those
προπομπεύοντας, οὕτω τῷ τάφῳ τῶν πατέρων δίδοται,
going-before-in-procession thus to-the tomb of-the fathers is-given
καὶ προστίθεται τοῖς ἱερεῦσιν ὁ ἀρχιερεὺς, τοῖς κήρυξιν ἡ
and is-added to-the priests the high-priest to-the heralds the
μεγάλη φωνὴ, καὶ τοῖς ἐμοῖς ὠσὶν ἔνηχος, ὁ μάρτυς τοῖς
great voice and in-the my ears ringing the martyr to-the
μάρτυσι. Καὶ νῦν, ὁ μέν ἐστιν ἐν οὐρανοῖς, κἀκεῖ τὰς
martyrs and now he indeed is in (the)-heavens and-there the
ὑπὲρ ἡμῶν, ὡς οἶμαι, προσφέρων θυσίας, καὶ τοῦ λαοῦ
for us as I-think offering sacrifices and for-the people
προσευχόμενος· οὐδὲ γὰρ ἀπολιπὼν ἡμᾶς, παντάπασιν
praying not-even for having-left us altogether
ἀπολέλοιπεν. Ἡμιθνὴς δὲ Γρηγόριος καὶ ἡμίτομος, τῆς
he-has-abandoned(-us) half-dead but Gregory and cut-in-half from-the
μεγάλης ἀπερρώγως συζυγίας, καὶ βίον ἕλκων ὀδυνηρὸν,
great torn-away yoke and life dragging painful

καὶ οὐκ εὔδρομον, οἷον εἰκὸς τὸν ἐκείνου κεχωρισμένον,
and not easy-running such-as (is)-likely the(-one) from-him separated
οὐκ οἶδα εἰς ὃ τελευτήσων μετὰ τὴν ἐκείνου παιδαγωγίαν·
not I-know to what about-to-end after the his tutelage
ᾧ καὶ νῦν ἔτι νουθετοῦμαι, καὶ σωφρονίζομαι διὰ
by-whom even now still I-am-admonished and I-am-chastened through
νυκτερινῶν ὄψεων, εἴ ποτε τοῦ δέοντος ἔξω πέσοιμι. Καὶ
nightly visions if ever the fitting(-thing) outside I-should-fall and
οὐκ ἐγὼ μὲν οὕτω θρήνους ἀναμίγνυμι τοῖς ἐπαίνοις, καὶ
not I indeed so laments I-mix with-the praises and
λογογραφῶ τὴν τοῦ ἀνδρὸς πολιτείαν, καὶ προτίθημι τῷ
I-write the of-the man life and I-set-before to-the
χρόνῳ κοινὸν ἀρετῆς πίνακα, καὶ πρόγραμμα σωτήριον
time (a)-common of-virtue picture and program saving
πάσαις ταῖς Ἐκκλησίαις, ψυχαῖς ἁπάσαις· πρὸς ὃν
for-all the Churches for-souls all to whom
βλέποντες, ἀπευθυνοῦμεν τὸν βίον, ὡς νόμον ἔμψυχον·
looking we-will-straighten the life as law living
ὑμῖν δὲ συμβουλεύσαιμ' ἂν ἄλλο τι, τοῖς τὰ
to-you and I-would-advise — other something to-those in-the(-things)
ἐκείνου τετελεσμένοις, ἢ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ
his initiated than to him always to-look and
ὡς ὁρῶντος καὶ ὁρωμένου, τῷ Πνεύματι καταρτίζεσθαι.
as (him)-seeing and being-seen by-the Spirit to-be-perfected
Δεῦρο δὴ περιστάντες με πᾶς ὁ ἐκείνου χορὸς, ὅσοι τοῦ 81
come then having-stood-around me all the his choir as-many-as of-the
βήματος, καὶ ὅσοι τῶν κάτω· ὅσοι τῶν ἡμετέρων,
sanctuary and as-many-as of-those below as-many-as of-the ours
καὶ ὅσοι τῶν ἔξωθεν· τὴν εὐφημίαν μοι συνεργάζεσθε,
and as-many-as of-those outside the praise with-me work-together
ἄλλος ἄλλο τι τῶν ἐκείνου καλῶν διηγούμενοι
one another something of-the his good(-things) telling

καὶ ζητοῦντες οἱ τῶν θρόνων, τὸν νομοθέτην· οἱ τῆς
and seeking those of-the thrones the lawgiver those of-the
πολιτείας, τὸν πολιστήν· οἱ τοῦ δήμου, τὴν εὐταξίαν· οἱ
commonwealth the city-builder those of-the people the good-order those
περὶ λόγους, τὸν παιδευτήν· αἱ παρθένοι, τὸν νυμφαγωγόν·
in letters the teacher the virgins the bridesman
αἱ ὑπὸ ζυγὸν, τὸν σωφρονιστήν· οἱ τῆς ἐρημίας, τὸν
those under (the)-yoke the chastener those of-the desert the
πτερωτήν· οἱ τῆς ἐπιμιξίας, τὸν δικαστήν· οἱ τῆς
winged(-one) those of-the mingling the judge those of-the
ἁπλότητος, τὸν ὁδηγόν· οἱ τῆς θεωρίας, τὸν θεολόγον· οἱ
simplicity the guide those of-the contemplation the theologian those
ἐν εὐθυμίᾳ, τὸν χαλινόν· οἱ ἐν συμφοραῖς, τὴν παράκλησιν·
in good-cheer the bridle those in misfortunes the comfort
τὴν βακτηρίαν, ἡ πολιά· τὴν παιδαγωγίαν, ἡ νεότης· ἡ
the staff the gray-hair the tutelage the youth the
πενία, τὸν πορισήν· ἡ εὐπορία, τὸν οἰκονόμον. Δοκοῦσί μοι
poverty the provider the wealth the steward seem to-me
καὶ χῆραι τὸν προστάτην ἐπαινέσεσθαι· καὶ ὀρφανοὶ, τὸν
also widows the protector to-be-going-to-praise and orphans the
πατέρα· καὶ πτωχοὶ, τὸν φιλόπτωχον· καὶ τὸν φιλόξενον,
father and (the)-poor the lover-of-the-poor and the lover-of-strangers
οἱ ξένοι· καὶ ἀδελφοὶ, τὸν φιλάδελφον· οἱ νοσοῦντες, τὸν
the strangers and brothers the brother-lover those sick the
ἰατρὸν, ἣν βούλει νόσον καὶ ἰατρείαν· οἱ ὑγιαίνοντες,
physician whatever you-will disease and cure those healthy
τὸν φύλακα τῆς ὑγείας· οἱ πάντες, τὸν πάντα πᾶσι
the guardian of-the health — all the(-one) all(-things) to-all
γενόμενον, ἵνα κερδάνῃ τοὺς πάντας, ἢ πλείονας.
having-become so-that he-might-gain — all or more

Ταῦτά σοι παρ᾽ ἡμῶν, ὦ Βασίλειε, τῆς ἡδίστης σοί ποτε 82
these to-you from us O Basil of-the sweetest to-you once
γλώττης, καὶ ὁμοτίμου, καὶ ἥλικος. Εἰ μὲν τῆς ἀξίας
tongue and of-equal-honor and of-(an)-age-mate if indeed of-the worth
ἐγγὺς, σὴ τοῦτο χάρις· σοὶ γὰρ θαῤῥῶν, τὸν περὶ
near yours this (is-the)-grace in-you for trusting the about
σοῦ λόγον ἐνεστησάμην. Εἰ δὲ πόῤῥω καὶ παρὰ πολὺ τῆς
you speech I-undertook if but far and by much of-the
ἐλπίδος, τί χρὴ παθεῖν, καὶ γήρᾳ, καὶ νόσῳ, καὶ τῷ
hope what must to-suffer both by-age and by-sickness and by-the
σῷ πόθῳ τετρυχωμένους; Πλὴν καὶ Θεῷ φίλον τὸ
your longing worn-out however even to-God dear (is)-the(-thing)
κατὰ δύναμιν. Σὺ δὲ ἡμᾶς ἐποπτεύοις ἄνωθεν, ὦ θεῖα
according-to ability you and us may-you-watch-over from-above O divine
καὶ ἱερὰ κεφαλὴ, καὶ τὸν δεδομένον ἡμῖν παρὰ Θεοῦ σκόλοπα
and holy head and the given to-us by God thorn
τῆς σαρκὸς, τὴν ἡμετέραν παιδαγωγίαν, ἢ στήσαις ταῖς
of-the flesh the our tutelage either may-you-stop by-the
σεαυτοῦ πρεσβείαις, ἢ πείσαις καρτερῶς φέρειν· καὶ
your-own intercessions or may-you-persuade(-us) steadfastly to-bear and
τὸν πάντα βίον ἡμῖν διεξάγοις πρὸς τὸ λυσιτελέστατον. Εἰ
the whole life for-us may-you-guide toward the most-profitable if
δὲ μετασταίημεν, δέξαιο κἀκεῖθεν ἡμᾶς ταῖς σεαυτοῦ
and we-should-depart may-you-receive also-there us in-the your-own
σκηναῖς, ὡς ἂν ἀλλήλοις συζῶντες, καὶ συνεποπτεύοντες
tents so-that — with-one-another living-together and together-beholding
τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα, καθαρώτερόν τε καὶ
the holy and blessed Trinity more-purely both and
τελεώτερον, ἧς νῦν μετρίως δεδέγμεθα τὰς ἐμφάσεις,
more-perfectly of-whom now in-measure we-have-received the reflections
ἐνταῦθα σταίημεν τῆς ἐφέσεως, καὶ ταύτην λάβοιμεν,
there we-may-stop of-the longing and this we-may-receive

ὧν πεπολεμήκαμεν καὶ πεπολεμήμεθα, τὴν ἀντίδοσιν.
of-the(-wars) we-have-waged and we-have-been-warred-on the recompense
Σοὶ μὲν οὖν οὗτος παρ᾽ ἡμῶν ὁ λόγος· ἡμᾶς δὲ τίς
to-you indeed then this from us the speech us but who
ἐπαινέσεται μετὰ σὲ τὸν βίον ἀπολείποντας; εἰ καί τι
will-praise after you the life leaving if even something
παράσχοιμεν ἐπαίνου τοῖς λόγοις ἄξιον, ἐν Χριστῷ Ἰησοῦ
we-should-offer of-praise to-the words worthy in Christ Jesus
τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.
— Lord our to-whom the glory into the ages Amen
